B I B L I O T H E C A
SCRIPTORVM GRAECORVM ET ROMANORVM
T E V B N E R I A N A

PHILOGELOS

EDIDIT

R. D. DAWE



MONACHII ET LIPSIAE
IN AEDIBVS K. G. SAUR MM

Gedruckt mit Unterstützung der Förderungs-
und Beihilfefonds Wissenschaft der VG WORT GmbH,
Goethestraße 49, 8000 München

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Hierocles (Facetiarum Scriptor):
Philogelos / [Hierokles ; Philagrios]. Ed. R. D. Dawe. –
Monachii ; Lipsiae : Saur, 2000
(Bibliotheca Teubneriana)
Einheitssacht.: Facetiae
ISBN 3-598-71595-1

Printed in Germany

Satz: Satzpunkt Leipzig
Druck und Bindung: Druckhaus „Thomas Müntzer" GmbH, Bad Langensalza

PRAEFATIO

Maior pars codicum quos adhibuimus facetiarum hanc farraginem Hierocli cuidam attribuunt; nomen Philagrii addunt A et in margine M. Philistion contra auctor laudatur apud 'Suidam' in loco sane obscuro: οὗτός ἐστιν ὁ γράψας τὸν Φιλόγελων, ἤγουν τὸ βιβλίον τὸ φερόμενον εἰς τὸν κουρέα. Nemo nominatur in codice nostro G, eodem tempore ac Suida conscripto. Ut caligo spissetur, Tzetzes iocum quasi e Philogelo narrat quae nobis aliunde ignota est.[1] Confusionis causa arcessita non opus est: Philogelos enim e fontibus hauritur multiplicibus, nec eodem tempore conscriptis. Qua de causa locutiones omnes in unam normam redigere, vel canoni uni et eidem semper obtemperare, editoris insipientis fuerit. Unum punctum temporis fixum habemus: nam ἐτηρίς, ἣ διὰ χιλίων ἐτῶν ἄγεται (62) sine dubio ad annum Domini 248 spectat. At ex indagationibus viri docti G. Ritter[2] satis apparet fabellas nonnullas ad seriorem aetatem Byzantinam pertinere.

Post editiones quas confecerunt Boissonade[3], Eberhard

1 Tzetzes, *Chil.* viii 969–973 Leone = viii 976–980 Kiessling. Vide W. Hörandner, *Gnomon* xlii (1970) 655–657.

2 *Studien zur Sprache des Philogelos,* Diss. Basel 1955.

3 *G. Pachymeris declamationes XIII, quarum XII ineditae; Hieroclis et Philagrii grammaticorum* Φιλόγελως *longe maximam partem ineditae, curante Joanne Fr. Boissonade,* Parisiis 1848, iterum Amstelodami 1966.

(Berolini 1869) et Thierfelder (editionem Monacensem 1968), editoris labor multo levior fit. E tabella quam post hanc Praefationem inveneris (p. ix) statim agnoscere poteris multa de facetiarum inter codices distributione quae verbis enumerare supervacaneum fuerit. Saepenumero ACM et EPV tam profunde dissentiunt ut discrepantiae intra fines critici apparatus non sint constringendae, sed textus utriusque per seriem imprimendus. Enimvero intra familias ipsas, licet sensum eundem reddant, disciplina scribarum laxa invenitur, praesertim ubi de verborum ordine agitur. Exempli causa vide 36, 58, 110, 139, 174, ubi codices A et M, alias arte cohaerentes, ordinem leviter confundunt. Neque abhorrent idem ab aliis mutationibus quae offensionem nemini nisi editori praestant: ex. gr. 81 τῶν συμπλεόντων A: τῶν ἐν τῶι πλοίωι M, seu ante 196 Ἀφυεῖς A: περὶ Ἀφυῶν M.

Quamvis M erroribus scateat, meliores lectiones nonnumquam praebet, quarum maiorem partem esse correctiones currente calamo insitas facile crederes: ex. gr. 39 ἕτερος; 54 κεφαλικήν; 56 ὡρῶν; 63 ἑώραν; 69 ὀδυρομένου; 81 κλαιόντων; 91 αὐτῶν post corr.; 166 ἀπεκρεμάσθη; 185 ἔχεις; 188 ὑμῖν. Sed non tam facile dimittas illud [σὺν αὐτῆι] M^{ac} 45, vel, si EPV conferas, 49 praepositionem ἐν omissam. In 111 non modo μεταπεμψάμενοι vera lectio est, sed, ni fallimur, etiam τοὺς ἐν τῆι πόλει ὄνους; nam τοὺς ὄνους τοὺς ἐν τῆι πόλει (A) claritatem usque ad vitium producit. De 207 ἐκοίμιζεν ambigi potest utrum authentica an commenticia lectio sit, sed eam veram esse procul dubio est. Multo magis incertum est quid de 47 γλυκόμενα, ubi A βληχόμενα offert, iudicare debeamus: vide apparatum ad locum.

Codex C 33 facetias tantum continet, sed novae variationes ordinis verborum non desunt: cf. 166, 202, 211, 221, 243, 244. Unicus veras lectiones praestat 170 ὁ δέ;

174 om. δέ; 232 ὀζεύς; 235 χανόντος: κῶλος; 243 λείξουρος; 244 ἔνι; et fortasse etiam 171 ἔδωκε: cf. Ritter p. 54; 173 αὐτῶι; 211 πιάσωμεν; 224 ἡδύνου; 236 αὐτῶι; 244 λέγει.

Ad alteram familiam, EPV, transeamus. Ubi omnes testes praesto sunt, consentiunt aliquando codices EP contra V: 4 om. ὅτι; 5 εἰδών; 11 om. ἰδεῖν; 14 om. διά; 22 ⟨ἔπι⟩; 30 λυπεῖσθαι; 31 περάσαι; 34 κἀμέ (P et s. l. voluit E); 40 δέ; 51 ποιεῖν (EP^{ac}); 55 ἐπίπρασκεν; 56 om. ψιλήν. Talia exempla PV contra E nusquam offerunt, neque ulla nisi vacua EV contra P: nam 5 σύγνωθι EV et 17 συνοψίσθη $E^{pc}V$ nihil valent. Dignum memoratu restat solum 34, ubi E in lin. cum V consentit, s. l. cum P.

Ubi opus e diversis fontibus in unum complicatum more ita discincto scribae suscipiunt, editori minime sperandum est ipsissima verba auctoris nesciocuius pristini reciperare. Hoc tantum igitur nobis propositum erat ut ante oculos lectoris poneremus quicquid testes diversi significarent, ea plenitudine usi quae apparatus vere critici modum sane excederet, quae tamen supervacaneum aliis redderet laborem codices spe novi fructus iterum perscrutandi. Codices plerumque ex imaginibus ξηρογραφικοῖς excussimus. De aliquot locis ubi lectiones in ambiguo esse videbantur nos certiores fecerunt Salvatore Lilla et Jacques Jouanna, quibus gratias libenter agimus. Plagulas pro sua benevolentia perscrutavit Neil Hopkinson.

Cantabrigiae MCMXCVIII R. D. Dawe

CONSPECTVS SIGLORVM

A	Par. sup. gr. 690, saec. xi
C	Vat. gr. 112, saec. xiv
E	Estensis a P. 7. 16, saec. xv
G	Cryptoferratensis A 33, saec. x–xi
M	Monac. gr. 551, saec. xv
P	Vat. palat. gr. 146, saec. xv (fons editionis principis)
V	Vind. gr. 192, saec. xv
z	Par. sup. gr. 491: editio quam conflat Minas Minoides: non notatur nisi ab A discedit: vide Appendicem
A^{ac}	A ante correctionem
A^{pc}	A post correctionem
A^{1}	Lectio scribae principis
A^{2}	Lectio alienae manus
A^{1pc}	Correctio a prima manu illata
A^{2pc}	Correctio ab aliena manu illata
A^{c}	Correcta lectio ubi A^{ac} non iam legitur
$A^{\gamma\rho}$	Varia lectio in A reperta
A in lin.	Lectio codicis A in linea reperta
A s. l.	Lectio codicis A supra lineam reperta
*	Rasura unius literae
•	Litera nihili
⟨ ⟩	Editoris supplementum
[ ]	Verba quae editor delenda censet

ORDO FACETIARVM

Nos	A	M	C	EV	P	G
1	1	1	–	–	–	–
2	2	2	–	1	1	–
3	3	3	–	–	–	–
4	4	4	–	2	2	–
5	5	5	–	3	3	–
6	6	6	–	14	14	–
7	7	7	–	–	–	–
8	8	8	–	7	7	–
9	9	9	–	8	8	–
10	10	10	–	–	–	–
11	11	11	–	10	10	–
12	12	12	–	–	–	–
13	13	13	–	–	–	–
14	14	–	–	11	11	–
15	15	14	–	12	12	–
16	16	15	–	–	–	–
17	17	16	–	34	29	–
18	18	17	–	–	–	–
19	19	18	–	18	18	–
20	20	19	–	–	–	–
21	21	20	–	–	–	–
22	22	21	–	21	20	3
23	23	22	–	–	–	–
24	24	23	–	–	–	4
25	25	24	–	–	–	–
26	26	25	–	–	–	–
27	27	26	–	–	–	–
28	28	27	–	–	–	–
29	29	28	–	26	23	5
30	30	29	–	27	24	–
31	31	30	–	28	25	–
32	32	31	–	–	–	–
33	33	32	–	–	–	–
34	34	33	–	4	4	2
35	35	34	–	–	–	–

Nos	A	M	C	EV	P	G
36	36	35	–	–	–	–
37	37	36	–	5	5	–
38	38	–	–	–	–	–
39	39	37	–	35	–	–
40	40	38	–	31	27	–
41	41	39	–	9	9	–
42	42	–	–	–	–	–
43	43	40	–	–	–	–
44	44	41	–	36	–	–
44 bis	45	42	–	(34)	(29)	–
45	46	43	–	13	13	–
46	47	44	–	15	15	–
47	48	45	–	–	–	–
48	49	46	–	–	–	–
49	50	47	–	17	17	–
50	51	48	–	–	–	–
51	52	49	–	19	19	–
52	53	50	–	20	–	–
53	54	51	–	–	–	–
54	55	52	–	–	–	–
55	56	53	–	29	26	–
56	57	54	–	22	30	–
57	58	–	–	–	–	–
58	59	55	–	–	–	–
59	60	56	–	–	–	–
60	61	57	–	–	–	–
61	62	58	–	–	–	–
62	63	–	–	–	–	–
63	64	59	–	–	–	–
64	65	–	–	–	–	–
65	66	60	–	33	28	–
66	67	61	–	–	–	–
67	68	62	–	–	–	–
68	69	63	–	–	–	–
69	70	64	–	–	–	–
70	71	65	–	–	–	–
71	72	–	–	–	–	–

Nos	A	M	C	EV	P	G
72	73	–	–	–	–	–
73	74	–	–	–	–	–
74	75	–	–	–	–	–
75	76	66	–	–	–	–
76	77	–	–	–	–	–
77	78	67	–	–	–	–
78	79	–	–	–	–	–
79	80	–	–	–	–	–
79 bis	81	–	–	–	–	–
80	82	68	–	–	–	–
81	83	69	–	–	–	–
82	84	–	–	–	–	–
83	85	70	–	–	–	–
84	86	71	–	–	–	–
85	87	72	–	–	–	–
86	88	73	–	–	–	–
87	89	–	–	–	–	–
88	90	74	–	–	–	–
89	91	75	–	–	–	–
90	92	76	–	–	–	–
90 bis	93	–	–	–	–	–
91	94	77	–	–	–	–
91 bis	95	–	–	–	–	–
92	96	78	–	–	–	–
93	97	79	–	–	–	–
94	98	–	–	–	–	–
95	99	–	–	–	–	–
96	100	80	–	–	–	–
96 bis	101	–	–	–	–	–
97	102	–	–	–	–	–
98	103	–	–	–	–	–
99	104	81	–	–	–	–
100	105	82	–	–	–	–
101	106	–	–	–	–	–
102	107	83	–	–	–	–
103	108	–	–	–	–	–
104	109	84	–	45	–	6

Nos	A	M	C	EV	P	G
105	110	–	–	46	–	–
106	111	85	–	–	–	7
107	112	86	–	–	–	–
108	113	87	–	–	–	–
109	114	88	–	–	–	–
110	115	–	–	–	–	–
111	116	89	–	–	–	–
112	117	90	–	–	–	–
113	118	–	–	–	–	–
114	119	–	–	–	–	–
115	120	91	–	–	–	–
116	121	–	–	–	–	–
117	122	–	–	–	–	–
118	123	–	–	–	–	–
119	124	–	–	–	–	–
120	125	–	–	–	–	–
121	126	92	–	–	–	–
122	127	93	–	–	–	–
123	128	–	–	–	–	–
124	129	94	–	–	–	–
125	130	95	–	–	–	–
126	131	96	–	–	–	–
127	132	–	–	–	–	–
128	133	–	–	–	–	–
129	134	–	–	–	–	–
130	135	–	–	–	–	–
131	136	–	–	–	–	–
132	137	97	–	–	–	–
133	138	–	–	–	–	–
134	139	–	–	–	–	–
135	140	–	–	–	–	–
136	141	–	–	–	–	–
137	142	98	–	–	–	–
138	143	–	–	–	–	–
139	144	99	–	–	–	–
140	145	100	–	–	–	–
141	146	–	–	–	–	–

Nos	A	M	C	EV	P	G
142	147	–	–	–	–	–
143	148	–	–	60	–	–
144	149	–	–	–	–	–
145	150	–	–	–	–	–
146	151	–	–	64	–	–
147	152	101	–	–	–	–
148	153	–	–	–	–	–
149	154	–	–	67	–	–
150	155	–	–	–	–	–
151	156	–	–	65	–	–
151 bis	157	–	–	62	–	–
152	158	–	–	68	–	–
153	159	102	–	–	–	–
154	160	–	–	–	–	–
155	161	–	–	–	–	–
156	162	–	–	–	–	–
157	163	–	–	–	–	–
158	164	–	–	–	–	–
158 bis	165	–	–	–	–	–
159	166	103	–	–	–	–
160	167	104	–	–	–	–
161	168	105	–	–	–	–
162	169	106	–	–	–	–
163	170	–	–	–	–	–
164	171	107	–	–	–	–
165	172	108	–	–	–	–
166	173	109	26	–	–	–
167	174	110	27	–	–	–
168	175	–	28	–	–	–
169	176	–	–	–	–	–
170	177	111	29	–	–	–
171	178	–	30	–	–	–
172	179	112	–	–	–	–
173	180	113	31	–	–	–
174	181	114	32	–	–	–
175	182	–	–	–	–	–
175 bis	183	–	–	–	–	–

Nos	A	M	C	EV	P	G
176	184	–	–	–	–	–
177	185	–	–	–	–	–
178	186	–	–	–	–	–
179	187	–	–	–	–	–
180	188	–	–	–	–	–
181	189	–	–	–	–	–
182	190	115	2	–	–	–
183	191	–	–	–	–	–
184	192	–	–	38	–	–
185	193	116	3	44aE	–	–
186	194	117	4	–	–	–
187	195	–	–	39	–	–
188	196	118	–	40	–	–
189	197	119	5	–	–	–
190	198	–	–	41	–	–
191	199	–	–	43	–	–
192	200	–	–	–	–	–
193	201	120	6	42	–	–
194	202	–	–	44	–	–
195	203	121	–	–	–	–
196	204	–	–	–	–	–
197	205	122	–	–	–	–
198	206	123	–	–	–	–
199	207	–	–	–	–	–
200	208	–	–	–	–	–
201	209	–	–	–	–	–
202	210	–	7	–	–	–
203	211	–	–	–	–	–
204	212	–	–	–	–	–
205	213	–	–	–	–	–
206	214	–	–	–	–	–
207	215	124	–	–	–	–
208	216	–	–	–	–	–
209	217	–	–	–	–	–
210	218	125	–	–	–	–
211	219	–	8	51	–	–
212	220	–	–	52	–	–

Nos	A	M	C	EV	P	G
213	221	–	9	53	–	–
214	222	–	–	–	–	–
215	223	–	–	–	–	–
216	224	–	–	–	–	–
217	225	–	–	–	–	–
218	226	–	–	–	–	–
219	227	–	10	–	–	–
220	228	–	11	48	–	–
221	229	–	12	49	–	–
222	230	–	–	–	–	–
223	231	–	13	50	–	–
224	232	–	14	–	–	–
225	233	–	15	–	–	–
226	234	–	–	–	–	–
227	235	–	16	37	–	–
228	236	–	–	–	–	–
229	237	–	–	54	–	–
230	238	–	–	–	–	–
231	239	–	–	–	–	–
232	240	–	17	–	–	–
233	241	–	18	–	–	–
234	242	–	21	–	–	–
235	243	–	19	–	–	–
236	244	–	20	–	–	–
237	245	–	–	–	–	–
238	246	–	–	–	–	–
239	247	–	–	59	–	–
240	248	–	–	–	–	–
241	249	–	–	–	–	–
242	250	–	–	–	–	–
243	251	–	22	–	–	–
244	252	–	23	55	–	–
245	253	–	24	56	–	–
246	254	–	–	–	–	–
247	255	–	–	57	–	–
248	256	–	–	58	–	–
249	257	–	–	–	–	–

Nos	A	M	C	EV	P	G
250	258	–	–	–	–	–
251	259	–	25	–	–	–
252	260	–	–	–	–	–
253	–	–	–	6	6	–
254	–	–	–	16	16	–
255	–	–	–	23	21	–
256	–	–	–	24	22	–
257	–	–	–	25	–	–
258	–	–	–	30	–	–
259	–	–	–	32	–	–
260	[157]	–	–	[62]	–	–
261	–	–	–	47	–	–
262	–	–	–	61	–	–
263	–	–	–	63	–	–
264	–	–	–	66	–	–
265	–	–	–	–	–	1

ΦΙΛΟΓΕΛΩΣ

ἐκ τῶν Ἱεροκλέους καὶ Φιλαγρίου γραμματικοῦ

A: ut supra
M: ἐκ τοῦ Φιλογέλους: περὶ Σχολαστικῶν
M i.m. ἐκ τῶν τοῦ Ἱεροκλέους καὶ Φιλαγρίου γραμματικοῦ
E: ἐκ τοῦ Ἱεροκλέους
P: primitus ut vid. nihil praeter Ἱεροκλέους scr. rubricator (quod maioribus literis iteravit alia manus); deinde in superiore margine add. σημείωσαι ἀστεῖα τοῦ Ἱεροκλέους τινά
V: ἐκ τοῦ Ἱεροκλέους συντάγματα· οἷσπερ ἐντυχών τις σωφρόνως μειδιάσει
CG titulum nullum exhibent

1

AM Σχολαστικὸς ἀργυροκόπωι ἐπέταξε λύχνον ποιῆσαι. τοῦ δὲ ἐξετάσαντος πηλίκον ποιήσει, ἀπεκρίνατο· Ὡς πρὸς ὀκτὼ ἀνθρώπους.

2

a) AM Σχολαστικὸς κολυμβῶν παρὰ μικρὸν ἐπνίγη· ὤμοσε δὲ εἰς ὕδωρ μὴ εἰσελθεῖν, ἐὰν μὴ μάθηι πρῶτον καλῶς κολυμβᾶν.

b) EPV Σχολαστικὸς κολυμβᾶν βουλόμενος παρὰ μικρὸν ἐπνίγη· ὤμοσεν οὖν μὴ ἅψασθαι ὕδατος, ἐὰν μὴ πρῶτον μάθηι κολυμβᾶν.

a) ἐπνίγει M

b) ἐπνίγει E[c] | ὥμοσεν E | ἀψάσθαι P ἅψεσθαι Koraes

3

(cf. 175 bis)

AM Σχολαστικῶι τις ἰατρῶι προσελθὼν εἶπεν· Ἰατρέ, ὅταν ἀναστῶ ἐκ τοῦ ὕπνου, ἡμιώριον ἐσκότωμαι καὶ εἶθ' οὕτως ἀποκαθίσταμαι. καὶ ὁ ἰατρός· Μετὰ τὸ ἡμιώριον ἐγείρου.

Σχολαστικὸς M | ἰατρῶ M ἰητρῶ A: cf. app. crit. ad 6, 7, 27

4

(cf. 155)

a) AM Σχολαστικοῦ ἵππον πιπράσκοντος ἠρώτησέ τις εἰ πρωτοβόλος ἐστίν. τοῦ δὲ εἰπόντος δευτεροβόλον εἶναι, εἶπε· Πῶς; ὁ δὲ ἀπεκρίνατο· Ὅτι ἅπαξ ἐμὲ ἔβαλε κάτω καὶ ἅπαξ τὸν πατέρα μου.

b) EPV Σχολαστικοῦ ἵππον πιπράσκοντος ἠρώτησέ τις εἰ πρωτοβόλος ἐστί. τοῦ δὲ φήσαντος δευτεροβόλον

εἶναι, ἔφη Πῶς οἶδας; ὁ δὲ εἶπεν· Ὅτι ἅπαξ †ἐδούλευσεν† ἐμὲ καὶ ⟨ἅπαξ⟩ τὸν πατέρα μου.

a) ἵππου M | πρωτόβολός ἐστιν AM: corr. edd. | δευτερόβολον AM: corr. edd. | ἔβαλε κάτω AM

b) πρωτοβολός E πρωτόβολος P^ac προτόβολος P^pc προτόβολός V | ἐστι sine accentu EPV | δευτερόβολον EPV: corr. edd. | ὅτι om. EP | ἐβόλευσεν coni. ed. princ.

5

(cf. 102)

a) AM Σχολαστικῶι τις ἀπαντήσας ἔφη· Κύριε σχολαστικέ, καθ' ὕπνους σε εἶδον. ὁ δέ· Μὰ τοὺς θεούς, εἶπεν, ἀσχολῶν οὐ προσέσχον.

b) EPV Σχολαστικὸς φίλον συναντήσας εἶπε· Καθ' ὕπνους σε ἰδὼν προσηγόρευσα. ὁ δέ· Σύγγνωθί μοι, ὅτι οὐ προσέσχον.

a) ἁπαντήσας M hic et ubique | μα M | προσέχων M

b) φίλωι ed. princ. | εἰδὼν EP ὁ δέ] ὁ δὲ εἶπε P^ac, corr. P^1 | σύγνωθι EV

6

(cf. 253)

a) AM Σχολαστικὸς ἰδὼν τὸν κατὰ συνήθειαν αὐτοῦ ἰατρὸν ἐρχόμενον περιεστέλλετο ⟨τὸ⟩ αὐτῶι ὀφθῆναι. ἐπερωτηθεὶς δὲ παρά τινος αὐτοῦ ἑταίρου, διὰ τί αὐτὸ ποιεῖ, ἀπεκρίθη· Πολὺς χρόνος ἐστὶν ἀφ' οὗ οὐκ ἐνόσησα, καὶ ἐντρέπομαι αὐτόν.

b) EPV Σχολαστικὸς ἰατρὸν συναντήσας ὑπὸ τοῖχον ἐκρύβη. τινὸς δὲ πυθομένου τὴν αἰτίαν ἔφη· Καιρὸν ἔχω μὴ ἀσθενήσας καὶ αἰσχύνομαι εἰς ὄψιν ἐλθεῖν τοῦ ἰατροῦ.

a) ἰητρὸν A : cf. app. crit. 3 | ⟨τὸ⟩ Dawe ⟨τοῦ μὴ⟩ repudiat et ὑπεστέλλετο coni. Boissonade | αὐτὸ] τοῦτο z

b) ἰατρὸν] ἰατρῷ P | τοίχου ed. princ.

7

AM Σχολαστικῶι τὴν σταφυλὴν τμηθέντι παρήγγειλεν ὁ ἰατρὸς μὴ λαλεῖν. ὁ δὲ τῶι δούλωι αὐτοῦ ἐπέταξεν ἀντασπάζεσθαι ἀντ' αὐτοῦ τοὺς προσαγορεύοντας, εἶτα αὐτὸς πρὸς ἕκαστον ἔλεγε· Μὴ πρὸς ὕβριν αὐτὸ δέξηι, εἰ ὁ δοῦλός μου ἀντ' ἐμοῦ ἀσπάζεταί σε· ἐκέλευσε γάρ με ὁ ἰατρὸς μὴ λαλεῖν.

ἰητρὸς utroque loco A: cf. app. crit. 3

8

AM + EPV Σχολαστικὸς θέλων μῦν πιάσαι συνεχῶς τὰ βιβλία αὐτοῦ τρώγοντα κρέας δακεῖν ἐν σκοτίαι ἐκάθισεν ...

θέλων μῦν πιάσαι Dawe μῦν θέλων πιάσαι V μῦν ἐθέλων πιάσαι EP θέλων πιάσαι μῦν AM | συνεχῶς] τὸν AM | δακεῖν Dawe δακὼν codd. | ἐν σκοτίαι] ἐν τῇ σκοτία A ἐν τῇ σκοτεία M | ἐκάθητο AM | sententiam non completam esse monuit Dawe

9

a) AM Σχολαστικὸς θέλων αὐτοῦ τὸν ὄνον διδάξαι μὴ τρώγειν οὐ παρέβαλεν αὐτῶι τροφάς. ἀποθανόντος δὲ τοῦ ὄνου ἀπὸ λιμοῦ ἔλεγε· Μεγάλα ἐζημιώθην· ὅτε γὰρ ἔμαθε μὴ τρώγειν, τότε ἀπέθανεν.

b) EPV Σχολαστικὸς θέλων τὸν ἵππον αὐτοῦ διδάξαι μὴ τρώγειν πολλὰ οὐ παρέβαλλεν αὐτῶι τροφάς.

ἀποθανόντος δὲ τοῦ ἵππου τῶι λιμῶι ἔλεγε· Μεγάλως ἐζημιώθην· ὅτε γὰρ καλῶς ἔμαθε μὴ τρώγειν, τότε ἀπέθανεν.

a) ἀπὸ] ὑπὸ Eberhard | ἀπέθανε M

b) παρέβοσκεν P | παρέβυκεν ed. princ. et παρέβυσεν coni. | μεγάλως] μέγα P

10

(cf. 157)

AM Σχολαστικὸς ἵππον πιπράσκων ἠρωτήθη μὴ δειλὸς εἴη. ὁ δὲ εἶπεν· Οὐ μὰ τὴν τοῦ πατρός μου σωτηρίαν· ἐν τῶι σταύλωι γὰρ μόνος ἕστηκεν.

δηλὸς M | ἔστηκεν sic spir. leni AM

11

AM + EPV Σχολαστικὸς θέλων ἰδεῖν εἰ πρέποι αὐτῶι κοιμᾶσθαι καμμύσας ἐνωπτρίζετο.

ἰδεῖν om. EP πρέποι A πρέπει rell. | καμμύσας Needham καμύσας codd. | ἐνωπτρίζετο A ἐνοπτ- M ἐσοπτ- EPV

12

AM Σχολαστικῶι ἀποδημοῦντι φίλος αὐτοῦ ἔλεγεν· Ἀξιῶ σε δύο παῖδας ἀγοράσαι μοι, ἑκ⟨άτερον⟩ πεντεκαίδεκα ἐτῶν. ὁ δὲ εἶπεν· Ἐὰν τοιούτους μὴ εὕρω, ἀγοράσω σοι ἕνα τριάκοντα ἐτῶν.

ἀγόρασαί M | ἑκάτερον Eberhard ἐκ AM

13

(cf. 152)

AM Σχολαστικοὶ δύο [πατραλοῖαι] ἐδυσφόρουν πρὸς ἀλλήλους ἐπὶ τῶι τοὺς πατέρας αὐτῶν ζῆν. τοῦ δὲ ἑνὸς εἰπόντος· Θέλεις οὖν ἀποπνίξηι ἕκαστος ἡμῶν τὸν ἴδιον; Μὴ γένοιτο, εἶπεν ὁ ἄλλος, ἵνα μὴ πατραλοῖαι ἀκούσωμεν. ἀλλ' εἰ βούλει, σὺ τὸν ἐμὸν σφάξον, κἀγὼ τὸν σόν.

πατραλοῖαι secl. Eberhard | ἀποπνίξηι Thierfelder -ει A -αι M

14

A + EPV Σχολαστικὸς οἰκίαν πριάμενος εἶτα διὰ τῆς θυρίδος παρακύψας ἠρώτα τοὺς παρερχομένους εἰ πρέπει αὐτῶι.

οἰκίας A | εἶτα] καὶ EPV | διὰ om. EP | θυρίδος] οἰκίας V^{ac}, corr. V^{1} | προκύψας EPV | παριόντας EPV | αὐτῶι] αὐτῶι ἡ οἰκία EPV

15

a) AM Σχολαστικὸς καθ' ὕπνους ἧλον πεπατηκέναι δόξας τὸν πόδα περιέδησεν. ἑταῖρος δὲ αὐτοῦ πυθόμενος τὴν αἰτίαν καὶ γνούς· Δικαίως, ἔφη, μωροὶ καλούμεθα· διὰ τί γὰρ ἀνυπόδητος κοιμᾶσαι;

b) EPV Σχολαστικὸς κατ' ὄναρ ἰδὼν ἧλον πεπατηκέναι καὶ δόξας ἀλγεῖν, τὸν πόδα περιεδήσατο. ἕτερος δὲ μαθὼν τὴν αἰτίαν ἔφη· Διὰ τί γὰρ ἀνυπόδητος κοιμᾶσαι;

a) καθ' ὕπνους om. M | δόξας, τὸν AM | κοιμᾶσε M

b) κατόναρ P | ἀλγεῖν, τὸν πόδα EV ἀλγεῖν τὸν πόδα, P | καθεύδεις. κοιμᾶσαι P κεκοίμησαι coni. ed. princ.

16

AM Σχολαστικὸς βιβλίον αὐτοῦ ἐπιζητῶν ἐπὶ πολλὰς ἡμέρας καὶ μὴ εὑρίσκων, ὡς κατὰ τύχην μαρούλια ἤσθιεν, ἐπιστραφεὶς ἐπί τινος γωνίας εἶδε κείμενον τὸ βιβλίον. ὕστερον δὲ φίλωι ἀπαντήσας ὀδυρομένωι ὡς τὴν στολὴν τῶν ἱματίων αὐτοῦ ἀπολέσαντι· Μὴ δυσφόρει, ἔφη, ἀλλὰ μαρούλια ἀγοράσας καὶ ἐσθίων αὐτὰ πρὸς τὴν γωνίαν ἐπιστραφεὶς πρόσσχες, καὶ εὑρήσεις αὐτά.

ἀπολέσαντι z ἀπολέσαντα A ἀπωλέσαντα M | πρόσχες AM: tacite corr. Thierfelder

17

(cf. 44 bis)

a) AM Σχολαστικῶι ἑταῖρος ἀποδημῶν ἔγραψεν ἵνα αὐτῶι βιβλία ἀγοράσηι. ὁ δὲ ἀμελήσας, ἐπανελθόντι αὐτῶι ἀπαντήσας, Τὴν ἐπιστολήν, εἶπεν, ἣν περὶ τῶν βιβλίων ἀπέστειλας, οὐκ ἐδεξάμην.

b) EPV Σχολαστικῶι φίλος ἔγραψεν εἰς Ἑλλάδα ὄντι βιβλία αὐτῶι ἀγοράσαι. τοῦ δὲ ἀμελήσαντος ὡς μετὰ χρόνον τῶι φίλωι συνωψίσθη, εἶπεν· Τὴν ἐπιστολήν, ἣν περὶ τῶν βιβλίων ἀπέστειλάς μοι, οὐκ ἐκομισάμην.

a) ἀγοράσει M | ἀπαντήσας om. M | τὴν περὶ τῶν βιβλίων ἐπιστολὴν, εἶπεν, ἣν οὐκ ἐδεξάμην ἀπέστειλας AM: verum ordinem praestant ad 44 bis

b) ἔγραψε E | ὄντι] ne ἀπιόντι conicias, cf. εἰς χειμῶνα ναυαγῶν (256); εἰς βάθος πίνειν (51); εἰς ὕψος σαλεύοντα (224) | ἀγορᾶσαι E | συνοψίσθη E[pc]V | εἶπε P | ἀπέστειλλάς V

18

AM Σχολαστικῶι τις ἀπαντήσας εἶπεν· Ὁ δοῦλος ὃν

ἐπώλησάς μοι ἀπέθανε. Μὰ τοὺς θεούς, ἔφη, παρ' ἐμοὶ ὅτε ἦν τοιοῦτον οὐδὲν ἐποίησεν.

ἐποίησε M

19

a) AM Σχολαστικὸς ἰδὼν πολλοὺς στρουθοὺς ἐπὶ δένδρου ἑστῶτας, ἁπλώσας τὸν κόλπον ἔσειε τὸ δένδρον ὡς ὑποδεξόμενος τοὺς στρουθούς.

b) EPV Σχολαστικὸς ἰδὼν στρουθοὺς ἐπὶ δένδρου, λάθρα ὑπεισελθών, ὑφαπλώσας τὸν κόλπον ἔσειε τὸ δένδρον ὡς ὑποδεξόμενος τὰ στρουθία.

a) ἔσειε z ἔσειε καὶ AM: καὶ ante ἁπλώσας trai. Thierfelder: ⟨καὶ⟩ ὑφαπλώσας in b) iam amicus de Rhoerii | ἀποδεξόμενος M

b) Σχολαστικοῦ P | στρουθοὺς] στρουθία e coniectura ed. princ. | ὑπελθὼν Thierfelder | ὑφαπλώσατο τ. κ. καὶ ἔσειε ed. princ. | τὸν om. V | ὑποδεξάμενος ed. princ.

20

AM Σχολαστικοὶ δύο ἀπὸ δείπνου ἀλλήλους ἀποκαθιστῶντες κατὰ τιμὴν οὐκ ἐκοιμήθησαν.

ἀλλήλως ἀποκαθιστῶντας M

21

AM Σχολαστικὸς καθευδῆσαι βουλόμενος, μὴ ἔχων προσκεφάλαιον, ἐκέλευσε τῶι δούλωι κεράμιον ὑποθεῖναι. τοῦ δὲ εἰπόντος ὅτι σκληρόν ἐστι, πτερῶν αὐτὸ γεμισθῆναι ἐκέλευσεν.

cf. Eustath. 1669,55 | ὑποθῆναι M | πτερῶν z πτερὸν AM | αὐτὸ Eberhard αὐτῶι AM om. z | ἐκέλευσε M

22

a) AM Σχολαστικὸς ἀπαντήσας τινὶ φίλωι αὐτοῦ εἶπεν· Ἤκουσα ὅτι ἀπέθανες. ὁ δὲ ἀπεκρίνατο· Ἀλλ' ὁρᾶις με ζῶντα. καὶ ὁ σχολαστικός· Καὶ μὴν ὁ εἰπών μοι κατὰ πολὺ σοῦ ἀξιοπιστότερος ἦν.

b) EPV Σχολαστικὸς σχολαστικῶι συναντήσας εἶπεν· Ἔμαθον ὅτι ἀπέθανες. κἀκεῖνος Ἀλλ' ὁρᾶις με, ἔφη, ζῶντα. καὶ ὁ σχολαστικός· Καὶ μὴν ὁ εἰπών μοι πολλῶι σοῦ ἀξιοπιστότερος ὑπάρχει.

c) G Σχολαστικὸς ὑπαντήσας γνωρίμωι εἶπεν· ⟨...⟩ Καὶ μὴν ὁ εἰπών με κατὰ πολὺ σοῦ ἀξιοπιστότερός ἐστιν.

a) πολύ σου M
b) ἔφη V ἔφη ἔτι P[ac] ἔτι ἔφη EP[1pc]
c) καταπολύ σου G | ἐστιν] incertum quid velint G[ac] et G[pc]

23

(cf. 130)

AM Σχολαστικὸς κατὰ πρώτην ἄνοιξιν τοῦ βαλανείου εἰσελθών, καὶ μηδένα εὑρὼν ἔσω, λέγει πρὸς τὸν δοῦλον αὐτοῦ· Ἐξ ὧν βλέπω, μὴ οὐ λούει τὸ βαλάνειον.

μηδ' ἕνα M | μὴ del. Thierfelder coll. 130, sed cf. K. G. I 224 n. 7 | λύει M | τὸ βαλάνειον fort. delendum: cf. 130 post βαλάνειον notam interrogationis M

24

AM + G Σχολαστικὸς τῶι πατρὶ μαχόμενος ἔλεγεν, Οὐχ ὁρᾶις οἷά με ἐζημίωσας; εἰ γὰρ σὺ μὴ ἐγεννήθης, ἐγὼ ἂν τὸν πάππον μου ἐκληρονόμησα.

Σ. μαχόμενος τῶι πατρὶ λέγει πρὸς αὐτόν· Κακὲ δοῦλε, οὐχ ὁρᾶις κ. τ. ἑ. AM | οἷα M | ἐζημίωσας] inter ἐ et ίωσας vix legitur G | ἐγεννήθεις G ἐγενήθης M^{ac}, corr. M^1 | ἐγὼ in G evanuit

25

(cf. 30)

AM Σχολαστικὸς ἐν τῶι πλέειν χειμῶνος ὄντος σφοδροῦ καὶ τῶν οἰκετῶν κλαιόντων· Μὴ κλαίετε, ἔφη· πάντας γὰρ ὑμᾶς ἐν διαθήκαις ἐλευθέρους ἀφῆκα.

ἱκετῶν M | ὑμᾶς Boissonade ἡμᾶς AM

26

(cf. 73)

AM Σχολαστικὸς ἐρευνῶν ποῦ ὀφείλει ἑαυτῶι κτίσαι οἴκημα [ἤγουν μνῆμα], εἰπόντων δὲ τινῶν ὅτι καλὸν ⟨ἂν⟩ εἴη ὧδέ που, ἔφη· Ἀλλὰ νοσώδης ὁ τόπος.

κτῆσαι M | ἤγουν μνῆμα] glossema agnovit Boissonade | ⟨ἂν⟩ Dawe: si verum est, cf. 28: optat. potent. nusquam alibi apud Philogelon invenitur

27

(cf. 79 bis)

AM Σχολαστικὸς νοσῶν συνετάξατο τῶι ἰατρῶι εἰ θεραπευθείη μισθὸν δώσειν. ὡς οὖν οἶνον ἐν τῶι πυρέσσειν πίνοντι αὐτῶι ἐπετίμα ἡ γυνή, Σὺ δὲ ὑγιάναντα βούλει με, ἔφη, ἀναγκασθῆναι τῶι ἰητρῶι τὸν μισθὸν δώσειν;

δόσειν M | πυρέσειν M πυρέττειν Thierfelder: cf. 79 bis, 186, 258 | ἔφη] ἔχειν M | μιστὸν M

28

AM Σχολαστικοῦ τὸν ἀντίχειρον κύων ἔδακεν. ὁ δὲ εἶπεν· Εἰ τὸ ἱμάτιον ἐπίασεν, ἐσχισμένον ἂν εἴη.

ἂν ἦν z

29

AM + EPV + G Διδύμων ἀδελφῶν ὁ ἕτερος ἐτελεύτησεν. Σχολαστικὸς οὖν τῶι ζῶντι συναντήσας ἠρώτα· Σὺ ἀπέθανες ἢ ὁ ἀδελφός σου;

ὁ ἕτερος AGM εἷς EPV | ἐτελεύτησε AMV | τῶι ζῶντι συναντήσας G ἀπαντήσας τῶι ζῶντι EPV προσελθὼν τῶι ζῶντι AM | ἠρώτα] εἶπε AM

30

(cf. 25)

AM + EPV Σχολαστικὸς ναυαγεῖν μέλλων πινακίδας ᾔτει ἵνα διαθήκας γράψηι. τοὺς δὲ οἰκέτας ὁρῶν ἀλγοῦντας διὰ τὸν κίνδυνον ἔφη· Μὴ λυπεῖσθε· ἐλευθερῶ γὰρ ὑμᾶς.

ᾔτει (ἤτοι M) πινακίδας AM | τοὺς δὲ … ὑμᾶς om. AM | λυπεῖσθαι EP

31

(cf. 91 bis)

a) AM Σχολαστικὸς διαπερᾶσαι ⟨ποταμὸν⟩ βουλόμενος ἀνέβη εἰς τὸ πλοῖον μετὰ τοῦ ἵππου ἐποχούμενος. πυθομένου δέ τινος διὰ τί οὐ κάτεισι· Σπουδάζω, ἔφη.

b) EPV Σχολαστικὸς ποταμὸν βουλόμενος περᾶσαι ἀνῆλθεν εἰς τὸ πλοῖον ἔφιππος. πυθομένου δέ τινος· Διὰ τί οὐ κατέβης; ἔφη σπουδάζειν.

a) ⟨ποταμὸν⟩ Eberhard
b) περάσαι EP

32

(cf. 96 bis)

AM Σχολαστικὸς ἐπὶ δεῖπνον κληθεὶς οὐκ ἤσθιεν. ἐρωτήσαντος δέ τινος τῶν κεκλημένων· Διὰ τί οὐκ ἐσθίεις; ἔφη· Ἵνα μὴ τοῦ φαγεῖν ἕνεκα δόξω παρεῖναι.

δέ τινος om. M

33

AM Σχολαστικοῦ υἱὸς ἐσφαίριζε. πεσούσης οὖν εἰς φρέαρ τῆς σφαίρας, παρακύψας καὶ ἰδὼν τὴν ἑαυτοῦ σκιὰν ᾔτει τὴν σφαῖραν. εἶτα πρὸς τὸν πατέρα κατηγόρει ὡς μὴ ἀπολαβὼν αὐτήν. ὁ δὲ παρακύψας εἰς τὸ φρέαρ καὶ ἰδὼν τὴν ἑαυτοῦ σκιὰν [ᾔτει τὴν σφαῖραν]· Οἰκοδέσποτα, φησίν, ἀπόδος τῶι παιδὶ τὴν σφαῖραν.

ἤτοι utroque loco M | παρακύψας[2]] προκύψας A | ᾔτει τὴν σφαῖραν] secl. Thierfelder | οἰκοδέσποτα z οἰκοδεσπότα AM | τῶι] τὶ seu τὲ seu τὸ M

34

a) G Σχολαστικὸς νοσοῦντα ἕτερον ἐπισκεπτόμενος ἠρώτα περὶ τῆς ὑγίας. τοῦ δὲ ἐκ τοῦ πυρετοῦ καταχθονισθέντος καὶ λαλεῖν μὴ δυναμένου, ὀργισθεὶς ἐξιὼν ἔλεγεν· Ἐλπίζω κἀγὼ νοσῆσαι καὶ ἐλθόντος σου μὴ ἀποκρίνασθαι.

b) AM Σχολαστικὸς νοσοῦντα ἑταῖρον ἐπισκεπτόμενος ἠρώτα περὶ τῆς νόσου. τοῦ δὲ μὴ ἀποκρινομένου ὀργισθεὶς Ἐλπίζω, εἶπε, κἀγὼ νοσῆσαι, καὶ οὐκ ἀποκρινοῦμαί σοι.

c) EPV Σχολαστικὸς νοσοῦντα ἐπισκεπτόμενος ἠρώτα περὶ τῆς ὑγείας. ὁ δὲ οὐκ ἠδύνατο ἀποκριθῆναι. ὀργισθεὶς οὖν ἐξήλεγχεν· Ἐλπίζω κἀγὼ νοσῆσαι καὶ ἐλθόντι σοι μὴ ἀποκριθῆναι.

a) Σχολαστεικὸς G | καταχθονηθέντος G: corr. Thierfelder | ὀργῆσθεῖς G | κἀγῶ G |

b) ut vid. ἐπισκεπτόμενον M | εἶπεν A^ac

c) κἀγὼ] κἀμὲ P κἀγὼ cum ε s. l. E

35

(cf. 158)

AM Σχολαστικὸς κλεψιμαῖα ἀμφῶτα πριάμενος, ἵνα μὴ γνωσθῶσιν, ἐπίσσωσεν αὐτά.

χολαστικὸς A | ut vid. ἐμφῶτα M | ἐπίσωσεν M

36

AM Σχολαστικὸς τῶν ἀπαντώντων τὰ ἱμάτια ἐτιμᾶτο. τούτου δὲ τοῦ πατρὸς παρά τινων τοῦτο ἀκούσαντος καὶ ἐπιτιμῶντος αὐτῶι, Πάτερ, εἶπεν, ὑπὸ διαβολῆς πέπεισαι τοῦτο, καὶ ἴσως οὐδ' ὑπὸ ἕννου. τοῦ δὲ εἰπόντος· Ὁ δεῖνά μοι εἴρηκε, Καὶ σύ, ἔφη, ἐκείνωι προσέχεις, ὃς οὐδὲ πεντήκοντα δραχμῶν ἱμάτιον ἔχει;

τινων A τινος M | πάτερ, εἶπεν A εἶπε, πάτερ M | ἕννου Dawe ἀνθρώπου codd., quod per compend. ἄνου exarat M | εἴρηκεν A^ac | ἔφη z ἔφησεν AM | ἐκεῖνο M

37

(cf. 158 bis)

AM + EPV Σχολαστικὸς ἵππον ἐπίπρασκεν. ἐλθόντος δέ τινος καὶ καταμανθάνοντος αὐτοῦ τὸν βόλον, εἶπεν πρὸς αὐτόν· Τί τοὺς ὀδόντας αὐτοῦ καταμανθάνεις; εἴθε ὡς τρώγει, οὕτως καὶ περιεπάτει.

καταμανθάνοντος Thierfelder: cf. 158bis καταμαθόντος AM μανθάνοντος EPV | αὐτοῦ om. EPV | βῶλον V | εἶπε MP | πρὸς αὐτὸν om. EPV | καταμανθάνεις] τηρεῖς EPV | τρώγοι V | οὕτως om. EPV

38

A Σχολαστικὸς πρεσβύτου πατρὸς σφόδρα νοσοῦντος τοὺς ἑταίρους ἠξίωσε στεφάνους φέρειν ἐπ' ἐκφορᾶι. τῆι δὲ ἐπιούσηι ἡμέραι βέλτιον αὐτοῦ σχόντος, ὡς ἠγανάκτουν οἱ ἑταῖροι· Κἀγώ, ἔφη, αἰσχύνομαι ζημιουμένων ὑμῶν. αὔριον οὖν φέρετε τοὺς στεφάνους· τοῦτον γάρ, ὡς ἂν ἔχηι, ἐξοίσω.

39

a) AM Σχολαστικοὶ δύο ὁμοῦ ἐβάδιζον. ἰδὼν οὖν ὁ ἕτερος αὐτῶν μέλαιναν ὄρνιν, Ἀδελφέ, φησίν, ἴσως ταύτης ὁ ἀλεκτρυὼν ἀπέθανεν.

b) EV Σχολαστικοὶ δύο ἐβάδιζον. ἰδὼν δὲ αὐτῶν ὁ εἷς μέλαιναν ὄρνιν εἶπεν· Ἀδελφέ, ἴσως ταύτης ὁ ἀλέκτωρ ἀπέθανε, καὶ διὰ τοῦτο μέλαινα ἐνεδύσατο.

a) ὁμοῦ om. M | ἑταῖρος A | ἀδελφέ M accentu caret A: ἄδελφε correctior esset apud Atticos: cf. Ammon. diff. 405 Nickau | ἀλεκτρὼν M^{ac}, corr. M^{1}

b) μέλαιναν Ritter p. 23 μέλαινα EV | μέλαινα] cf. 227

40

a) AM Σχολαστικὸς μικρὸν υἱὸν ἀπολέσας, θεασάμενος πολλοὺς ἐπὶ τὸ κῆδος ἀπαντήσαντας διὰ τὴν †ἀπουσίαν† αὐτοῦ ἔλεγεν· Αἰδοῦμαι μικρὸν παιδίον εἰς τοσοῦτον ὄχλον ἐκφέρων.

b) EPV Σχολαστικοῦ παιδίον ἀπέθανεν. ἰδὼν οὖν πλῆθος λαοῦ συνελθὸν ἔλεγεν· Αἰσχύνομαι εἰς τοσοῦτον ὄχλον μικρὸν παιδίον προφέρειν.

a) ἀπωλέσας M | ἐπὶ τὴν κηδείαν M | ἐξουσίαν Eberhard περιουσίαν Boissonade πλουσίαν ⟨...⟩ Dawe
b) οὖν] δὲ EP | συνελθὼν P συνελθεῖν ed. princ.

41

(cf. 156)

AM + EPV Σχολαστικὸς οἰκίαν πωλῶν λίθον ἀπ' αὐτῆς εἰς δεῖγμα περιέφερεν.

περιέφερε M

42

(cf. 132)

A Σχολαστικῶν δύο ὁδευόντων ὁ ἕτερος τῆς γαστρὸς ἀναγκαζούσης μικρὸν ἀπελείφθη. εὑρὼν δὲ ἐν τῶι μιλίωι ἐπιγεγραμμένον παρὰ τοῦ ἑτέρου· Κατάλαβέ με ...

verba omissa e 132 supplere in promptu est

43

AM Σχολαστικὸς ἀκούσας παρά τινων ὅτι Ὁ πώγων σου ἤδη ἔρχεται, ἀπελθὼν εἰς τὴν πύλην ἐξεδέχετο αὐτόν. ἕτερος δὲ τὴν πρόφασιν ἐρωτήσας καὶ γνούς· Εἰκό-

τως, εἶπε, μωροὶ νομιζόμεθα· πόθεν γὰρ οἶδας, εἰ διὰ τῆς ἑτέρας πύλης ἔρχεται;

ἑτέρου ... ἐρωτήσοντος M | εἶπεν A[ac]

44

a) AM Σχολαστικὸς μετὰ τοῦ πατρὸς καθεύδων, ἀνιστάμενος ἐπὶ τῆς κλίνης νυκτὸς ἔτρωγε σταφυλὰς ὑπεράνω κρεμαμένας. τοῦ δὲ πατρὸς αὐτοῦ ὑπὸ χύτραν λύχνον κρύψαντος, εἶτα ὅτε ἀνέστη τὸ φῶς ἄφνω δείξαντος, ὁ δὲ ὀρθὸς ἑστὼς ἔρεγχε καθεύδειν προσποιούμενος.

b) EV Σχολαστικὸς μετὰ τοῦ πατρὸς κοιμώμενος τῆι νυκτὶ ἀπὸ τῆς κλίνης ἀνιστάμενος τὰς σταφυλὰς ἔτρωγεν ἐπάνω κρεμαμένας. τοῦ δὲ πατρὸς σκανδαλισθέντος καὶ ὑπὸ χύτραν λαμπάδα κρύψαντος, ἐν τῶι ἐκεῖνον τῆι νυκτὶ ἀναστῆναι πρὸς τὸ ἔθος ὁ πατὴρ ἄφνω τὸ φῶς ἔδειξε. κἀκεῖνος ἑστὼς καμμύων ἔτρωγε κοιμᾶσθαι προσποιούμενος.

a) ὀρθὸς z ὀρθῶς AM
b) ἑστὼς E | ἔτρωγε V ἔτρυχε E

44 ***bis***

(cf. 17)

AM Σχολαστικῶι ἑταῖρος ἀποδημῶν ἔγραψεν ἵν' αὐτῶν βιβλία πρίηται. ὁ δὲ ὀλιγωρήσας, ἐπανελθόντι αὐτῶι ἀπαντήσας, Τὴν ἐπιστολήν, εἶπεν, ἣν περὶ τῶν βιβλίων ἀπέστειλας, οὐκ ἐδεξάμην.

ἕτερος AM: e silentio corr. z, qui vv. ll. a 17a) discrepantes tantum notat

45

AM + EPV Σχολαστικὸς νυκτὸς ἐπανέστη τῆι μάμμηι αὐτοῦ. πληγὰς δὲ διὰ τοῦτο ὑπὸ τοῦ πατρὸς λαβών, Σύ, εἶπεν, τοσοῦτος χρόνος ἐστὶν ἐξ οὗ τὴν μητέρα μου ὀχεύεις, μηδὲν ὑπ' ἐμοῦ παθών, καὶ νῦν ὀργίζηι ἐπὶ τῆι μητρί σου ἅπαξ με εὑρών;

νυκτὶ EPV | μάμη EPV | ἑαυτοῦ A | τοῦ om. P | τοσούτους A[ac] post λαβών pergit εἶπε Σὺ τοσοῦτον χρόνον τὴν μ. EPV | ὀχλεύεις EPV | νῦν AM σὺ EPV | με εὑρών EPV εὑρών με σὺν αὐτῆ A, ubi σὺν αὐτῆ in sua propria linea stat: σὺν αὐτῆ ita exaravit M ut nunc 46 legatur τὸ χωρ•• σὺν αὐτῆ/ρίον: σύν in 'Philogelos' nusquam alibi invenitur

46

a) AM Σχολαστικῶι πραγματευτὴς ἀπήγγειλεν ὅτι τὸ χωρίον αὐτοῦ ὁ ποταμὸς ἔλαβεν. ὁ δὲ ἀνακραγὼν ἀπεκρίνατο λέγων· Βιάζεται ἡμᾶς.

b) EPV Σχολαστικῶι πραγματευτὴς εἶπεν ὅτι Ποταμὸς ἔλαβε τὸν ἀγρόν σου. κἀκεῖνος ἔφη· Καὶ τί λέγω;

a) πραγματικὸς Thierfelder | ὅτι] ὅτου M | ἀνακραγῶν M

b) πραγματευτὴς] ἔμπορος P: vide Thierfelder sub a) | ὁ ποταμος ἔλασε ed. princ. | λέγω] λέγει Dawe, sed iocus obscurus

47

AM Σχολαστικὸς διὰ χρόνου εἰς τὸν ἀγρὸν παραγενόμενος ἐθεάσατο τὰ θρέμματα ἐξιόντα ἐπὶ βόσκησιν. καὶ ὡς εἴωθε γλυκυνόμενα ἰδὼν ἠρώτα τὴν αἰτίαν. τοῦ δὲ οἰκονόμου προσπαίξαντος καὶ εἰπόντος Ἀσπάζονταί σε, Τὴν ἐμήν σοι σωτηρίαν, φησίν, ἐμοῦ ἕνεκα ἀργίαν αὐτοῖς δὸς καὶ τρεῖς ἡμέρας μὴ ἐξαγάγῃς αὐτὰ εἰς νομήν.

χρόνον M | γλυκυνόμενα Dawe γλυκόμενα M: cf. Migne 40.129c (Ph. Carp. Cant. 206) ubi γλυκαιν – malit editor βληχόμενα A βληχώμενα ⟨καὶ σκιρτῶντα⟩ Thierfelder | προσπαίζοντος Dawe | σοι om. M[ac], add. M[1] | ἀργίαν in ras. scr. M[1] | αὐτοῖς] αὐτῇ M | ἐξαγάγεις M

48

AM Σχολαστικὸς καινὰ ὑποδήματα ὑπεδήσατο. τριζόντων οὖν αὐτῶν ἐπισχών, Μὴ τρίζετε, εἶπεν, ἐπεὶ τὰ σκέλη ἡμῶν ὀκλάζεται.

καινὰ] κενᾶ M | ὑποδήσατο M | οὖν αὐτῶν in ras. scr. M[1] | μὴ τρίζετε z μὴ τρίζεται AM | ἡμῶν M ὑμῶν A | ὀκλάζεται Dawe κλάσητε AM

49

a) AM Σχολαστικὸς τὴν σελήνην ἰδὼν ἐπυνθάνετο τοῦ πατρὸς εἰ καὶ ταῖς ἄλλαις πόλεσιν τοιαῦται σελῆναί εἰσιν.

b) EPV Σχολαστικὸς ἐν τῆι πόλει ὢν καὶ τὴν σελήνην ἰδὼν ἐπυνθάνετο τοῦ πατρὸς εἰ καὶ αἱ λοιπαὶ πόλεις ἔχουσι τοιαύτην σελήνην.

a) ταῖς M ἐν ταῖς A | πολέσι M | σελήναι AM | εἰσί M
b) ἐν τῆι πόλει ὢν καὶ] secludebat Thierfelder

50

AM Σχολαστικὸς δανειστὴς ναυκλήρωι χρεώστηι ἐνετέλλετο σορὸν αὐτῶι κομίσαι καὶ δύο παιδικὰς τοῖς ὀκταέτεσι παιδίοις αὐτοῦ, δικαίου μέτρου ὡς εἰς αὔξησιν.

χρεώστης M | παιδίσκας AM: corr. Kurtz | σωρὸν αὐτὸ M | μέτρον M

51

a) AM Σχολαστικὸς ἰδὼν ἐν τῶι ἀγρῶι αὐτοῦ φρέαρ βαθὺ ἠρώτα εἰ καλὸν [ἦν] τὸ ὕδωρ. τῶν δὲ γεωργῶν εἰπόντων ὅτι Καλόν· καὶ γὰρ οἱ γονεῖς σου ἐντεῦθεν ἔπινον, Καὶ πηλίκους, φησίν, εἶχον τραχήλους ἵνα ἀπὸ τοσούτου βάθους πίνειν ἐδύναντο;

b) EPV Σχολαστικὸς ἐν τῶι ἰδίωι ἀγρῶι ἐξιὼν ἠρώτα πιεῖν ὕδωρ, εἰ καλὸν ⟨ἦν⟩ ἐν τῶι αὐτόθι φρέατι. τῶν δὲ φησάντων ὅτι Καλόν· καὶ γὰρ καὶ οἱ γονεῖς σου ἐξ αὐτοῦ ἔπινον, Καὶ πηλίκους, ἔφη, εἶχον τραχήλους ὅτι εἰς τοσοῦτον βάθος πίνειν ἠδύναντο;

a) ἦν secl. Dawe | ἐνταῦθα M | τρσούτου M^{c}

b) πιεῖν] ποιεῖν EP^{ac}, corr. P^{2} | ⟨ἦν⟩ Dawe | τῶν δὲ ⟨γεωργῶν⟩ Thierfelder | καὶ γὰρ καὶ] καὶ γὰρ P | σου] αὐτοῦ ed. princ.

52

a) AM Σχολαστικὸς εἰς λάκκον πεσὼν συνεχῶς ἐβόα ἀνακαλῶν ἑαυτῶι βοηθούς. ὡς δ' οὐδεὶς ὑπήκουε, λέγει πρὸς ἑαυτόν· Μωρός εἰμι, ἐὰν μὴ ἀνελθὼν πάντας μαστιγώσω, ἵνα οὕτω γοῦν μοι ὑπακούσωσι καὶ κλίμακα κομίσωσιν.

b) EV Σχολαστικὸς εἰς λάκκον ἐμπεσὼν συνεχῶς ἔκραζε βοηθείαν ζητῶν. ὡς δὲ οὐδεὶς ὑπήκουεν, ἔφη· Μωρός εἰμι, ἐὰν μὴ ἀνελθὼν πάντας τύψω, ἵνα κἂν οὕτως δραμόντες κλίμακά μοι κομίσωσιν.

a) λάκκον] βάθος M | μωρὸς εἰμὶ AM | οὕτω Boissonade αὐτῶ AM

b) λάκον EV | ἐπήκουεν E^{1pc} | μωρὸς εἰμὶ EV

53

AM Σχολαστικὸς συνδειπνῶν τῶι πατρὶ παρακειμένης

θριδακίνης μεγάλης καὶ ἐχούσης πολλοὺς θύρσους καλούς, Σύ, πάτερ, ἔφη, φάγε τὰ τέκνα καὶ ἡμεῖς τὴν μητέρα.

Σύ Eberhard εὖ AM | μητέραν M: cf. Ritter p. 17

54

AM Σχολαστικὸς γράφων πρὸς τὸν πατέρα ἀπὸ τῶν Ἀθηνῶν, καὶ ἐναβρυνόμενος ὅτι πεπαίδευται, προσέθηκεν· Εὔχομαι δέ σε εὑρεῖν κεφαλικὴν ἔχοντα δίκην, ἵνα σοι δείξω τὸν ῥήτορα.

ἐν ἀμβρυνόμενος M | κεφαληκὴν A | ἔχοντα] φεύγοντα z

55

AM + EPV Σχολαστικὸς εὐτράπελος ἀπορῶν δαπανημάτων τὰ βιβλία αὐτοῦ ἐπίπρασκε, καὶ γράφων πρὸς τὸν πατέρα ἔλεγε· Σύγχαιρε ἡμῖν, πάτερ· ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει.

εὐτράπελος] ἀμαθὴς EPV om. ed. princ. | ἑαυτοῦ AM | ἐπίπρασκεν EP | πάτερ om. AM

56

a) AM Σχολαστικὸς καὶ φαλακρὸς καὶ κουρεὺς συνοδεύοντες καὶ ἔν τινι ἐρημίαι μείναντες συνέθεντο πρὸς τέσσαρας ὥρας ἀγρυπνῆσαι καὶ τὰ σκεύη ἕκαστος τηρῆσαι. ὡς δὲ ἔλαχε τῶι κουρεῖ πρώτωι φυλάξαι, μετεωρισθῆναι θέλων τὸν σχολαστικὸν καθεύδοντα ἔξυρεν καὶ τῶν ὡρῶν πληρωθεισῶν διύπνισεν. ὁ δὲ σχολαστικὸς ψήχων ὡς ἀπὸ ὕπνου τὴν κεφαλὴν καὶ εὑρὼν

ἑαυτὸν ψιλόν, Μέγα κάθαρμα, φησίν, ὁ κουρεύς· πλανηθεὶς γὰρ ἀντ' ἐμοῦ τὸν φαλακρὸν ἐξύπνισεν.

b) EPV Σχολαστικὸς καὶ φαλακρὸς καὶ κουρεὺς συνοδεύοντες συνέθεντο πρὸς τέσσαρας ὥρας βιγλεῦσαι. ἔλαχεν οὖν πρῶτον τῶι κουρεῖ. ὁ δὲ μετεωριζόμενος τὸν σχολαστικὸν κοιμώμενον ἐξύρισεν καὶ τῶν ὡρῶν πληρωθεισῶν διύπνισεν. ὁ δὲ κνηθόμενος ἀπὸ ὕπνου τὴν κεφαλὴν καὶ εὑρὼν αὐτὴν ψιλὴν ἔφη· Μέγα κάθαρμα ὁ κουρεύς· πλανηθεὶς γὰρ ἀντὶ ἐμοῦ τὸν φαλακρὸν διύπνισεν.

a) ὡρῶν M ὀρῶν A | πληρωθησῶν M | δι' ὕπνησεν M | ψύχων M | ψηλὸν M | ὁ κουρεύς] κουρεύς M

b) μετεωριζόμενος P[1c] | ἐξύρισε V | διύπνησεν V | κνηθόμενος edd. κνιθ- EPV | ψιλὴν] om. EP et ed. princ. in textu, sed ψιλὴν in notis coni. | διύπνυσεν V

57

A Σχολαστικῶι ἐκ δούλης τεκνώσαντι ὁ πατὴρ συνεβούλευε τὸ παιδίον ἀποκτεῖναι. ὁ δὲ Πρῶτον, ἔφη, σὺ τὰ τέκνα σου κατόρυξον, καὶ οὕτως ἐμοὶ συμβούλευε τὸν ἐμὸν ἀνελεῖν.

ἐμοὶ συμβούλευε z ἐμοὶ συνεβούλευε A | τὸν ἐμὸν] τὸ ἐμὸν Boissonade

58

AM Σχολαστικοῦ εἰς βαλανεῖον εἰσελθόντος παραχύτης θερμὸν τοῖς ποσὶ προσέχεεν. ὁ δὲ Κάθαρμα, εἶπε, ψυχρῶι ἀνθρώπωι θερμὸν προσχεῖς;

Σχολαστικὸς ... εἰσελθών, ὁ παραχύτης M | ψυχρῶι ἀνθρώπωι post προσχεῖς non ante θερμὸν M

59

AM Σχολαστικὸς ἀκούσας τινὸς ὅτι καλὴν ὄρνιν σιτευτὴν ἕωλον ἐδείπνησε, προσελθὼν τῶι σιτευαριωι ἔλεγεν· Ἕωλον μοι ὄρνιν θῦσον.

ἕωλον (ἕαλον M) ante σιτευτὴν AM: corr. Dawe | σιτευτωρίωι M | θύσον AM

60

(cf. 131)

AM Σχολαστικὸς ἀπὸ πολλῶν μιλίων χωρίον ἔχων, ἵν' αὐτὸ ἐγγύτερον ποιήσηι, ἑπτὰ μίλια κατέβαλεν.

αὐτὸς M | ποιήσει M | μιλάρια Thierfelder, sed cf. Lampe, *Patristic Greek Lexicon* s.v. μίλιον

61

AM Σχολαστικὸς χαμαιδιδάσκαλος ἄφνω ἀποβλέψας εἰς τὴν γωνίαν ἐβόησε· Διονύσιος ἐν τῆι γωνίαι ἀτακτεῖ. εἰπόντος δέ τινος ὅτι οὔπω πάρεστιν, ὁ δὲ ἔφη· Ὅταν ἔλθηι.

χαμαιδιδάσκαλος z χαμαὶ διδάσκαλος AM: vide R. Cribiore, *Amer. Stud. in Papyrol.* 36 (1996) 13–14 | ἐβόησε ... γωνίαι om. M | ἔλθοι M

62

A Σχολαστικὸς τῆι ἑτηρίδι, ἣ διὰ χιλίων ἐτῶν ἄγεται ἐν Ῥώμηι, ἡττηθέντα ἀθλητὴν [καὶ] δακρύοντα ἰδών, παραμυθούμενος Μὴ λυποῦ, ἔφη· τὴν γὰρ ἄλλην χιλιετηρίδα σὺ νικήσεις.

ἑτηρίδι z ἑταιρίδι A | καὶ secl. Dawe

63

AM Σχολαστικὸς συνεκάθητο ἡγεμόνι δεξιοπήρωι. εἰς ἑώραν οὖν ἐξελθόντος αὐτοῦ καὶ ἐπαινοῦντος ⟨τὰς⟩ ἐν τοῖς ἀριστεροῖς μέρεσιν ἀμπέλους, Ὅταν ἐπανερχώμεθα, φησί, καὶ τὰ ἄλλα μέρη ἀρέσει σοι.

ἡγεμῶνι M | ἑώραν z εώραν A ὥραν M | οὖν οὖν A | ⟨τὰς⟩ suppl. Eberhard | -όμεθα M | τἄλλα M

64

A Σχολαστικὸς βράκας ἀγοράσας, ἐπεὶ δὲ στενὰς οὔσας μόγις ὑπεδύσατο, ἐδρωπακίσατο.

ἐπεὶ [δὲ] Thierfelder ἐπειδὴ Eberhard | ἐδρο- A: corr. Boissonade

65

a) AM Σχολαστικοῦ υἱὸς ὑπὸ τοῦ πατρὸς εἰς τὸν πόλεμον ἐκπεμπόμενος ὑπέσχετο κεφαλὴν ἑνὸς τῶν ἐχθρῶν ἔχων ἐλεύσεσθαι. ὁ δὲ ἔφη· κἂν χωρίς σε κεφαλῆς ἐλθόντα ἴδω, εὐφρανθήσομαι.

b) EPV Σχολαστικοῦ υἱὸς ὑπὸ τοῦ πατρὸς εἰς πόλεμον ἐκπεμπόμενος ὑπέσχετο ἑνὸς τῶν ἐχθρῶν κεφαλὴν ἀγαγεῖν. ὁ δὲ ἔφη· Εὔχομαι καὶ χωρὶς κεφαλῆς σε ἐλθόντα, μόνον ὑγιᾶ ὄντα, ἰδεῖν καὶ εὐφρανθῆναι.

a) ἐλεύσεσθαι] ὀλέσθαι M

b) εἰς πόλεμον ὑπὸ τοῦ πατρὸς αὐτοῦ ἀποπεμπόμενος V | ὑγιῆ ed. princ.

66

AM Σχολαστικὸς ἐν ποταμῶι θεασάμενος ἁλιάδα σί-

του μεστὴν καὶ βεβαρημένην Ἐὰν μικρόν, εἶπεν, ὁ ποταμὸς αὐξήσῃ, βυθισθήσεται.

ἀλιᾶ M | βεβαρυμένην M | αὐξήσει M

67

AM Σχολαστικὸς ἐξ ἀποδημίας ἐπανερχόμενος τῷ πενθερῷ ἀπαντήσας, πυνθανομένου ἐκείνου πῶς πράττοι αὐτοῦ ὁ συμφοιτητής, ὁ δέ Πάνυ, ἔφη, αὐτῷ καλῶς ἐστι νῦν, καὶ εὐθυμεῖ· τὸν γὰρ πενθερὸν αὐτοῦ κατώρυξεν.

ἐπανερχόμενος Eberhard: ἀνερχόμενος iam Boissonade ἐξερχόμενος M ἐξερχομένω A | πράττει M | αὐτοῦ[2] z ἑαυτοῦ AM | -υξε M

68

AM Σχολαστικὸς γράψας δίκην ὑπέρ τινος, δημοσίᾳ προανεγίνωσκε. τοῦ δὲ συνηγορουμένου εἰπόντος ὅτι ἄτοπον ποιεῖ, τὰ ἀπόρρητα τῆς δίκης τοῖς ἀντιδίκοις φανερὰ ποιῶν, Κάθαρμα, εἶπε, μὴ γάρ τι τῶν συνεκτικῶν λέγω;

δίκην ὑπέρ Minas διαθήκην ὑπό AM | ἄτοπόν ⟨τι⟩ Eberhard, sed cf. Kühner-Gerth I 268

69

AM Σχολαστικὸς ἀποθανόντος συμφοιτητοῦ ἐπεσκέπτετο τοὺς γονέας. τοῦ δὲ πατρὸς αὐτοῦ ὀδυρομένου καὶ λέγοντος· Τέκνον, ἐπήρωσάς με, τῆς δὲ μητρὸς λεγούσης· Τέκνον, ἐτύφλωσάς με, ὁ σχολαστικὸς πρὸς τοὺς ἑταίρους εἶπεν· Εἰ ταῦτα αὐτῷ πέπρακται, ἐχρῆν αὐτὸν καὶ ζῶντα καυθῆναι.

αὐτοῦ post γονέας trai. Dawe | ὀδυρομένου M -ωμένου A | ἐπήρωσάς Boissonade ἠπόρησάς AM | ἑτέρους M | καυθῆναι Boissonade κλαυ- AM

70

AM Σχολαστικὸς νοσοῦντα φίλον ἀπῆλθεν ἐπισκέψασθαι. τῆς γυναικὸς δ' αὐτοῦ εἰπούσης ὅτι ἐκεῖνος ἤδη ἔξω ἐστίν, Ἐὰν οὖν ἐπανέλθηι, φησίν, ἐρεῖς παραγεγενῆσθαί με;

ἐπῆλθεν Eberhard | αὐτοῦ] αὐτῶι Eberhard | notam interrogationis om. A, nescio an recte: cf. K.-G. § 387.5 b; B.-D. § 362

71

A Σχολαστικὸς ὑπόδειγμα λαβὼν μήκους καὶ πλάτους ἐπὶ τῶι ἁβρόπτυχα ἴσα κομίσασθαι [ζητῆσαι] ἐπυνθάνετο ποῖόν ἐστι τὸ μῆκος καὶ ποῖον τὸ πλάτος.

ἁβρόπτυχα Dawe ἀκρο- A | ἴσα κομίσασθαι Dawe εἰσκομίσαι A | ζητῆσαι del. Thierfelder | ποῖόν ... ποῖον] πότερον utrubique Eberhard

72

A Σχολαστικὸς ἐν γάμοις ἑστιαθεὶς εἶτα ἀναχωρῶν Εὔχομαι, εἶπεν, εὐτυχῶς καὶ ἀεὶ ταῦτα ὑμᾶς ποιεῖν.

73

A Ὁ αὐτὸς τὸ Σκριβωνίας μνῆμα καλὸν ἔφη καὶ πολυτελὲς εἶναι, ἀλλ' ἐπινόσωι τόπωι οἰκοδομῆσθαι.

Σκρηβωνίας A: corr. Thierfelder | ἀλλ'⟨ἐν⟩ Boissonade | οἰκοδομεῖσθαι A[2pc] ἐνωικοδομῆσθαι Eberhard

74

A Σχολαστικῶι λεπτὸν ἵππον ἔχοντι προσελθών τις Ὁ ἵππος σου, ἔφη, εἰς Ἅιδου βλέπει. καὶ ὁ σχολαστικός· Κἀγὼ βλέπω.

βλέπει Dawe ὁρᾶι A

75

AM Σχολαστικὸς νοσῶν, εἶτα πεινῶν, ὡς οὐδέπω τετάρτην ὥραν ἀπηγγέλη, ἀπιστῶν πρὸς ἑαυτὸν τὸ ὡρολόγιον ἐκέλευσε κομισθῆναι.

τετάρτη ὥρα nimis in promptu est | ἀπηγγέλει M

76

A Σχολαστικῶι εἰς τὸ Σαραπεῖον ἀνελθόντι θαλλὸν ὁ ἱερεὺς διδούς Ἵλεώς σοι, εἶπεν, ὁ κύριος. καὶ ὁ σχολαστικός Ἵλεως, ἔφη, ὁ κύριος τῶι †παρίωι† μου· ἐγὼ γὰρ ἐλεύθερός εἰμι.

Σαραπεῖον z -ίον A | θαλὸν A: corr. Thierfelder | παιδαρίωι Hörandner, Gnomon xlii (1970) 657

77

(cf. 257)

AM + EPV Σχολαστικὸς ἐκκομίσας τὸν υἱόν, ἀπαντήσας τῶι διδασκάλωι αὐτοῦ Σύγγνωθι, ἔφη, ὅτι οὐκ ἦλθεν ὁ υἱός μου εἰς τὴν σχολήν· ἀπέθανε γάρ.

78

A Σχολαστικὸς εἰκόνας ἀρχαῖα ζωγραφήματα ἐχούσας ἀπὸ Κορίνθου λαβὼν καὶ εἰς ναῦς ἐμβαλὼν τοῖς

ναυκλήροις εἶπεν· Ἐὰν ταύτας ἀπολέσητε, καινὰς ὑμᾶς ἀπαιτήσω.

cf. Vell. Pat. I.13.4 | ἀπολέσητε z ἀπολέσηται A

79

A Σχολαστικῶι ὑπερζέουσαν κύλικα ὁ οἰνοχόος ὤρεξεν. ὁ δὲ ἐπὶ τῆς τραπέζης αὐτὴν θεὶς Οὕτω μένηι, ἔφη, μέχρι ὁ παιδαγωγός σου ἐλθὼν εὕρηι αὐτὴν ζέουσαν.

μένηι Eberhard, quod non pro futuro sed pro iussu accipi oportere docet Ritter p. 56 μένε A μενέτω Thierfelder

79 *bis*
(cf. 27)

A Σχολαστικὸς νοσῶν συνετάξατο τῶι ἰατρῶι εἰ θεραπευθείη, μισθὸν δώσειν. ὡς οὖν οἶνον ἐν τῶι πυρέττειν πίνοντι αὐτῶι ἐπετίμα ἡ γυνή, Σὺ δὲ βούλει με ὑγιάναντα, ἔφη, ἀναγκασθῆναι θᾶττον τῶι ἰατρῶι τὸν μισθὸν ἐκτῖσαι;

θεραπεύει A | ἐκτίσαι A

80

AM Σχολαστικοῦ πλέοντος ἐκινδύνευεν ὑπὸ χειμῶνος τὸ πλοῖον. τῶν δὲ συμπλεόντων ἀπορριπτούντων ἐκ τῶν σκευῶν ἵνα κουφισθῆι τὸ πλοῖον, κἀκείνωι τὸ αὐτὸ ποιεῖν παραινούντων, ὁ δὲ ἔχων χειρόγραφον ἑκατὸν πεντήκοντα μυριάδων, τὰς πεντήκοντα ἀπαλείψας, Ἴδε, φησίν, ὅσοις χρήμασιν ἐπεκούφισα τὴν ναῦν.

ἀποριπτ- M | τὸ αὐτὸ z τῶι αὐτῶι AM | ὑπαλείψας M | χρήμασιν repudiat Boissonade κύμασιν AM | ἐπικουφίσω M | ναῦ M

81

AM Σχολαστικὸς ἐν πλοίωι χειμαζομένωι καὶ κλαιόντων τῶν συμπλεόντων, Τί γάρ, ἔφη, μικρολόγοι ἐστέ; ἐγὼ δὲ δέκα Ἀττικὰς πλείονας διδοὺς κινδύνωι τοῦ κυβερνήτου πλέω.

χειμαζομένων AM: corr. Dawe | καὶ fort. delendum | κλεόντων A | συμπλεόντων A ἐν τῶι πλοίωι M | ἐσταί M | διδοὺς Thierfelder δοὺς AM | κυβερνήτου z -ίτου AM

82

A Σχολαστικῶι ἀναβαίνοντι ἐπὶ τεῖχος ἐν μάχηι χύτραν τις μεστὴν κοπρίων ἐπέβαλεν. ὁ δὲ βοῶν Οὐ θέλεις, εἶπε, καθαρῶς πυκτεῦσαι;

εἶπε* A | notam interrogationis add. Eberhard

83

AM Σχολαστικός, ὡς ἐν τῶι Ῥήνωι ποταμῶι ναῦς ἐπώκειλεν, ὑπὸ τὸ κατάστρωμα τῆς νεὼς ὑποβὰς ἀνωθεῖσθαι ἐνόμιζεν αὐτὴν εἰς τὸ ἄνω, οὐ συνεὶς ὅτι τοῖς ποσὶν αὐτὴν ὑπερείδων μᾶλλον εἰς τὸ βάθος κατῆγεν.

ὡς om. M | Ῥήνωι z Ῥηνῶ AM | ἐπώκειλεν z ἐπώκιλεν AM | ὑπὸ Minas ἐπὶ AM | τὸ] τῶ ut vid. A[ac] | ὑποβὰς ἀνωθεῖσθαι z ὑποβᾶσαν ὠθεῖσθαι A ὑπὸ βασῶν ὠθεῖσθαι M | post ἄνω suppl. ⟨ἕτερος δὲ ἰδὼν εἶπε πρὸς αὐτόν·⟩ et pergit οὐ συνίεις … κατάγεις; Thierfelder οὐ … κατῆγεν eiecit Eberhard | ὑπερεῖδον M

84

(cf. 134)

AM ὁ αὐτὸς τοῖς στρατιώταις Αὔριον, εἶπε, μακρὰν

ὁδὸν ὁδοιπορῆσαι ἀναγκαῖον· σήμερον οὖν πλεονάκις καθέσθητε.

καθέσθηται M | hic iocus melius post 82 sederet

85

AM Σχολαστικὸς εἰς οἰκίαν καινὴν μετοικισθεὶς καὶ τὰ πρὸ τοῦ πυλῶνος καθήρας ἐπέγραψεν· Ὃς ἂν ὧδε κόπρια βάλῃ ἀπόλλυσιν αὐτά.

κενὴν M | καθήρας Cobet καβηρᾶς AM | ὃς] ὡς M | βάλλει M

86

AM Σχολαστικὸν ὁ πατὴρ ἀπολέσαντα δηνάριον ἐβούλετο τυπτῆσαι. ὁ δὲ Μὴ ὀργίζου, ἔφη, κἀγὼ ἐκ τῶν ἐμῶν ἀγοράζω τὸ δηνάριον.

ἀπωλέσαντα M | τυπῆσαι M | κἀγὼ] καὶ γὰρ Eberhard | δίναριον A^{ac}, corr. A^{2}

87

A Σχολαστικὸς ἐπὶ τῆς οἰκίας σεκούτορος σχῆμα λαβὼν ἔπαιζεν. ἄφνω δέ τινος ἀπαγγείλαντος αὐτῶι παρουσίαν τοῦ πατρός, ῥίψας τὸ ὅπλον ἔλυε τὴν κνημῖδα. φθάσαντος δὲ τοῦ πατρὸς αὐτῶι ἐπιστῆναι, ἔχων τὴν περικεφαλαίαν βιβλίον ἀνεγίνωσκεν.

ἐπὶ] ἀπὸ Boissonade πρὸ Eberhard | σεκούτερος A: corr. Thierfelder | αὐτῶι ἐπιστῆναι Eberhard αὐτοῦ ἐπιστῆναι A

88

AM Σχολαστικὸς ἐπανερχόμενος ὅθεν ἀπεδήμησεν, καὶ ἀναβαίνων ὑψηλὴν ἀνάβασιν, ἐθαύμαζε λέγων· Ἐν-

ταῦθα ὅτε πρῶτον [ὡς] παρήιειν ὁδεύων κατάβασις ἦν·
καὶ πῶς νῦν ταχέως ἠλλάγη καὶ ἀνάβασις γέγονε;

λέγων· ὅτε πρῶτον παρεκεῖ ὥδευον Boissonade | [ὡς] παρήιειν idem, teste Eberhard ὡς παρκεῖν A ὡς ἐπαρκεῖν M

89

AM Σχολαστικὸς πλέων ἐπύθετο τοῦ κυβερνήτου πόστη εἴη ὥρα. τοῦ δὲ μὴ γινώσκειν φήσαντος, ἠρώτησε πόσος εἴη χρόνος ἀφ' οὗ τὴν ναῦν κυβερνᾶι. τοῦ δὲ Τρία ἔτη φήσαντος, Πῶς οὖν ἐγώ, ἔφη, πρὸ ἓξ μηνῶν οἰκίαν πριάμενος, ὅταν εἰς τὴν αὐλὴν κατέλθηι ὁ ἥλιος τὴν ὥραν στοχάζομαι, σὺ δὲ ἀπὸ τοῦ πλοίου τεκμήρασθαι οὐ δύνασαι τοσούτωι χρόνωι αὐτὸ κυβερνῶν;

ἐπείθετο M | κυβερνίτου A | πόστη εἴη ὥρα z πῶς τῆ εἴ βωρα A πῶς, τῆ ὥρα M | ἠρώτισε M | εἴη om. M | ναῦ M | φωνήσαντος M | κατέλθοι M | αὐτῶ M | κυβερνῶν z κυβερνᾶν AM

90

AM Σχολαστικὸς σοφιστὴς ἀξιούμενος τῶν ἀποθνησκόντων ἐπιταφίους λέγειν ἑνὸς ἔτι ζῶντος ἔγραψεν ἐπιτάφιον, ὅς ἐνεκάλει αὐτῶι ἐπὶ τούτωι. ὁ δὲ Ἂν οὖν ὑμεῖς, φησί, μὴ προλέγητε ὅταν ἀποθνήισκητε, ἐγὼ ἐξ αὐτοσχεδίου λέγω βούλεσθε ἵν' ἀσχημονήσω;

αὐτῶι] αὐτὸν M | ἂν οὖν z ἄνουν A ἄνους M | ἀποθνήσκετε M | λέγων z, probat Thierfelder: contra Ritter p. 63 n. 147 | βούλεσθαι A

90 *bis*

A Σχολαστικὸς ναυαγεῖν μέλλων ᾔτει πινακίδας ἵνα διαθήκας γράψηι.

91

AM Σχολαστικὸς συμφοιτητὰς ἐπὶ δεῖπνον καλέσας, ἐπαινεσάντων αὐτῶν ὑὸς κεφαλὴν καὶ ἀξιωσάντων καὶ τῆι ὑστεραίαι παρ' αὐτῶι ἑστιαθῆναι, ἀπελθὼν πρὸς τὸν μάγειρον Δός μοι, ἔφη, ἀπὸ τοῦ αὐτοῦ χοίρου κεφαλὴν ἑτέραν· ἡ γὰρ χθὲς ἡμῖν πάνυ ἤρεσεν.

αὐτῶν M^{1pc} αὐτῶ AM^{ac} | μάγηρον A

91 *bis*

(cf. 31)

A Σχολαστικὸς διαπερᾶσαι ⟨ποταμὸν⟩ βουλόμενος ἀνέβη εἰς τὸ πλοῖον μετὰ τοῦ ἵππου ἐποχούμενος. πυθομένου δέ τινος διὰ τί οὐ κάτεισι σπεύδειν ἔφη.

διαπεράσαι A | ⟨ποταμὸν⟩ Eberhard | ἐνέβη A | τὸ] om. A | τοῦ] om. A

92

(cf. 136)

AM Σχολαστικὸς ἠρώτα τὸν πατέρα· Ἡ πεντακότυλος λήκυθος πόσον χωρεῖ;

τὸν πατέρα αὐτοῦ M

93

AM Σχολαστικὸς μαθὼν περὶ κλίμακός τινος ὅτι ἀναβαινόντων ἔχει βαθμοὺς εἴκοσιν ἐπύθετο εἰ καὶ καταβαινόντων τοσοῦτοί εἰσιν.

εἴκοσι M

94

A Σχολαστικὸς διαλεγομένων τινῶν περὶ ἀπεψίας ἔλεγε μηδεπώποτε ἠπεπτηκέναι. τῶν δὲ πυνθανομένων εἰ μηδέποτε ἠρεύξατο πικρὸν ἢ ἀηδές, Τοῦτο, εἶπε, ποιῶ καθ' ἑκάστην ἡμέραν.

95

A Σχολαστικῶι υἱὸς ἐγεννήθη. πυνθανομένων δέ τινων αὐτοῦ ποῖον ὄνομα αὐτῶι θήσεται, Τὸ ἐμὸν ἕξει, ἔφη, ὄνομα, κἀγὼ τέως οὕτω μενῶ.

96

AM Σχολαστικοὶ δύο δειλοί, ὁ μὲν ἔκρυψεν εἰς φρέαρ αὑτόν, ὁ δὲ εἰς καλαμῶνα. χαλασάντων οὖν κράνος τῶν στρατιωτῶν ἐπὶ τὸ ὕδωρ ἀρύσασθαι, ⟨ὁ μὲν ἕτερος⟩ νομίσας στρατιώτην κατιέναι ἱκετεύων ἐλήφθη. ὡς δὲ ἔφασαν οἱ στρατιῶται ὅτι εἰ ἐσιώπησε, παρῆλθον ἂν αὐτόν, ὁ ἐν τῶι καλαμῶνι κρυβόμενος Οὐκοῦν, εἶπεν, ἐμὲ παρέλθατε· σιωπῶ γάρ.

Σχολαστικοὶ δύο z: vide Appendicem p. 84 δύο Σχ. A Σχ., omisso δύο, M | δειλοὶ ⟨ἐδιώκοντο ὑπὸ πολεμίων καὶ⟩ Dawe | εἰς φρέαρ ἑαυτὸν M | ⟨ὁ μὲν ἕτερος⟩ Dawe | εἰ] om. M | ὁ δὲ ἐν M

96 *bis*

(cf. 33)

A Σχολαστικὸς ἐπὶ δεῖπνον κληθεὶς οὐκ ἤσθιεν. ἐρομένου οὖν τινος τῶν κεκλημένων διὰ τί οὐκ ἐσθίοι, ὁ δὲ Ἵνα μή, ⟨ἔφη⟩, τοῦ φαγεῖν ἕνεκα δόξω παρεῖναι.

⟨ἔφη⟩, Dawe

97

A Σχολαστικός, γυναικὸς αὐτοῦ ἀποθανούσης, σορὸν ἠγόραζε καὶ περὶ τῆς τιμῆς ἐζυγομάχει. τοῦ δὲ πωλοῦντος ὀμόσαντος μὴ ἔλαττον πέντε μυριάδων πωλήσειν, ὁ δὲ Ἐπειδή, ἔφη, προσείληψαι τῶι ὅρκωι, λαβὲ μὲν τὰς πέντε μυριάδας, εἰς προσθήκην δέ μοι μικρὸν σορίδιον δός, ἵνα ἐάν που χρεία παιδίωι γένηται ἕτοιμον ἦι.

⟨τῆς⟩ γυναικὸς Eberhard | πολοῦντος A | ὁμόσαντος A | που Eberhard μου A

98

A Σχολαστικῶι ἑταῖρος ἀπαντήσας Συγχαίρω σοι, εἶπεν, ὅτι σοι παιδίον ἐγεννήθη. ὁ δὲ ἀπεκρίνατο· Ταῦτα ὑμεῖς οἱ φίλοι ποιεῖτε.

99

AM Σχολαστικῶι τις λέγει· Χρῆσόν μοι βίρρον μέχρις ἀγροῦ. ὁ δὲ Μέχρι σφυροῦ, εἶπεν, ἔχω· μέχρι δὲ ἀγροῦ οὐκ ἔχω.

Σχολαστικὸς M | βίρρον] μῦρον M | οὔ. [ἔχω] elegantius foret

100

(cf. 128)

AM Σχολαστικὸς ἐπ' ὀχήματος ὥδευεν. ἐπεὶ δὲ ἀτονήσασαι αἱ ἡμίονοι οὐκ ἠδύναντο βαδίζειν, ὑπέλυσεν αὐτὰς ὁ ἡνίοχος ἵνα μικρὸν ἀναλάβωσιν. λυθεῖσαι οὖν ἔφυγον. καὶ ὁ σχολαστικὸς πρὸς τὸν ἡνίοχον Κάθαρμα, εἶπεν, ὁρᾶις ὅτι αἱ μὲν ἡμίονοι τρέχουσι, τὸ δὲ ὄχημά ἐστιν αἴτιον τὸ δραμεῖν μὴ δυνάμενον;

ὥδευεν M | οὐκ] οὐκέτι Eberhard | λυθῆσαι M | [τὸ] δραμεῖν Eberhard, collato 128

101

A Σχολαστικὸς ἀδελφοὺς διδύμους ἰδών, θαυμαζόντων τινῶν τὴν ὁμοιότητα αὐτῶν, Οὐχ οὕτως, φησίν, ὅμοιός ἐστιν ⟨οὗτος⟩ ἐκείνωι ὡς ἐκεῖνος τούτωι.

οὕτως Eberhard οὗτος A | ⟨οὗτος⟩ Eberhard ⟨οὕτως⟩ z | τούτωι Boissonade τοῦτο A

102

AM Σχολαστικῶι τις λέγει Δημέα, τρίτην ἡμέραν σε [ἐνθάδε] ἐν ὕπνοις εἶδον. ὁ δὲ Ψεύδηι, εἶπεν, ἐν ἀγρῶι γὰρ ἤμην.

[ἐνθάδε] Thierfelder | ψεύδει M | sensus est non 'fallis' sed 'falleris'

103

(cf. 129)

A Σχολαστικὸς μετὰ δύο ἑταίρων διελέγετο. τοῦ ἑνὸς οὖν εἰπόντος ὅτι μὴ δίκαιόν ἐστι πρόβατον σφάζεσθαι· γάλα γὰρ καὶ ἔρια φέρει· καὶ τοῦ ἄλλου εἰπόντος ὅτι μηδὲ βοῦν προσήκει ἀναιρεῖσθαι γάλα παρέχουσαν καὶ ἀροτριῶσαν· ὁ σχολαστικὸς ἔφη μηδὲ χοῖρον δίκαιον εἶναι ἀναιρεῖσθαι ἧπαρ παρέχοντα καὶ οὖθαρ καὶ βουλβάν.

cf. Aesop. fab. 87H, Aphthon. fab. 30 | ἔρια φέρει Perry ἔριον ἀφέρει A ἔριον ἀ⟨φθόνως⟩ φέρει z | ἀρωτριῶσαν A | ἥπαρ A | παρέχοντα] παρέχουσαν Boissonade | βούλβαν Boissonade: cf. Ritter p. 15

ΠΕΡΙ ΦΙΛΑΡΓΥΡΩΝ

Hunc titulum exhibent EV ἐκ τοῦ Φιλογέλου AM ἐκ τοῦ Φιλόγελω Boissonade

104

AM + EV + G Φιλάργυρος διαθήκας γράφων ἑαυτὸν κληρονόμον ἔταξεν.

διαθήκην EV | num κληρόνομον hoc accentu? vide Chandler *Greek Accentuation* § 493 | κληρονο, dein ras. ca. 9 litt., tum ιμον ἔταξεν G | ἔταξε M

105

a) A Φιλάργυρος ἐρωτώμενος διὰ τί ἄλλο οὐθὲν ἢ μόνον ἐλαίας ἐσθίει, ἔφη· Ἵνα τὸ μὲν ἔξωθεν ἀντὶ ὄψου ἔχω, τὸ δὲ ὀστοῦν ἀντὶ ξύλου· φαγὼν δὲ εἰς ⟨τὴν⟩ ἑαυτοῦ κεφαλὴν σφογγισάμενος λουτροῦ οὐκ ἐπιδέομαι.

b) EV Φιλάργυρος ἐρωτηθεὶς Διὰ τί οὐδὲν ἄλλο ἐσθίεις εἰ μὴ ἐλαίας, εἶπεν· Ἵνα τὸ μὲν ἔξωθεν ὄψον ἔχω, τὸ δὲ ὀστοῦν ἀντὶ ξύλου, καὶ ἵνα φαγὼν μὴ ἀπονίψωμαι, ἀλλὰ ⟨εἰς⟩ τὴν κεφαλήν μου ἐκμαξάμενος …

a) ἢ] εἰ μὴ z | ⟨τὴν⟩ z

b) ιλάργυρος V: φ om. rubricator | ⟨εἰς⟩ Thierfelder | ἐκμαξάμενος] αμαξά E | in fine ⟨λουτροῦ μὴ δέωμαι⟩ Thierfelder

106

AM + G Πεπανόπτωχος εἰωθὼς τὴν φίλην αὐτοῦ ἐξαπατᾶν ὡς εὐγενὴς ὢν καὶ πλούσιος, εἰς τοὺς γείτονας σιτευόμενος ὡς εἶδεν ἄφνω τὴν φίλην, στραφεὶς ἐφώνει· Πέμψον δέ μοι καὶ τὸ φιβλατώριον.

εἰωθῶς G εἰωθὸς AM | ἐξαπατῶν M^{ac} ἐξεπα G in fine paginae: deinde deficit | τὴν φίλην[2]] sic z τὰς φίλας A τοὺς φίλους M

107

AM Ἄλλος ὁμοίως μεγαλαυχούμενος, τελείως δὲ πενητεύων, [καὶ] κατὰ τύχην νοσήσας, τῆς δὲ φίλης αὐτοῦ αἰφνίδιον ἐπεισελθούσης καὶ εὑρούσης αὐτὸν ἐπὶ ψιάθου κείμενον, ἐντραπεὶς ᾐτιᾶτο τοὺς ἰατροὺς λέγων· Οἱ καλοὶ ἰατροὶ καὶ ⟨οἱ⟩ δόκιμοι τῆς πόλεως ἐκέλευσάν με ψιαθισθῆναι.

τελείως τε A | [καὶ] Eberhard | αἰφνήδιον M | ⟨οἱ⟩ Dawe

108

AM Ἀλαζὼν ἐν ἀγορᾶι παῖδα ἑαυτοῦ θεασάμενος ἐκ τοῦ ἀγροῦ νεωστὶ ἐληλυθότα εἶπε· Τί ποιοῦσι τὰ πρόβατα; ὁ δὲ εἶπε· Τὸ μὲν καθεύδει, τὸ δὲ ⟨ἐφ⟩ίσταται.

τὰ μὲν ... τὰ δὲ M | ⟨ἐφ⟩ add. Dawe: cf. Ar. Vesp. 955 ἵστανται M

109

A Μωρὸς ἀκούσας ὅτι ἐν Ἅιδου δίκαια ⟨τὰ⟩ κριτήρια, πρᾶγμα ἔχων ἀπήγξατο.

⟨τὰ⟩ z

ΑΒΔΗΡΙΤΗΣ

Hunc titulum habet A, nullum rell., nisi Ἀβδηρῖται z

110

AM Ἐν Ἀβδήροις διηιρεῖτο ἡ πόλις εἰς δύο μέρη, οἱ τε

πρὸς ἀνατολὰς οἰκοῦντες καὶ οἱ πρὸς δύσιν. πολεμίων οὖν ἄφνω τὴν πόλιν ἐφορμησάντων καὶ πάντων θορυβουμένων, οἱ πρὸς τὸ ἀνατολικὸν οἰκοῦντες μέρος πρὸς ἀλλήλους ἔλεγον· Ἡμεῖς μὴ θορυβηθῶμεν· οἱ γὰρ πολέμιοι ἐπὶ τὰς δυσικὰς εἰσέρχονται πύλας.

ἐφορμισάντων M | μέρος ante non post οἰκοῦντες M | μὴ om. M

111

AM Ἐν Ἀβδήροις ὄνος λαθὼν εἰς τὸ γυμνάσιον εἰσῆλθε καὶ τὸ ἔλαιον ἐξέχεεν. οἱ δὲ συναθλοῦντες, [καὶ] μεταπεμψάμενοι πάντας τοὺς ἐν τῆι πόλει ὄνους καὶ εἰς ἕνα συναγαγόντες τόπον, πρὸς τὸ ἀσφαλίσασθαι ἐνώπιον αὐτῶν τὸν ὄνον ἐμαστίγωσαν.

συναθλοῦντες Dawe συνελθόντες AM | [καὶ] Dawe | μεταμεμψάμενοι A | τοὺς ὄνους τοὺς ἐν τῆι πόλει A | ἐμαστίγωσεν M

112

AM Ἀβδηρίτης ἀπάγξασθαι βουλόμενος καὶ τοῦ σχοινίου διαρραγέντος τὴν κεφαλὴν ἐπλήγη. λαβὼν οὖν ἔμπλαστρον παρὰ τοῦ ἰατροῦ καὶ θεὶς κατὰ τοῦ τραύματος, ἀπελθὼν πάλιν ἀπήγξατο.

ἀπήγξασθαι M | διαραγέντος M

113

(cf. 119)

A Ἀβδηρίτης [εὐνοῦχον] ἰδὼν κηλίτην ἀπὸ ἐμβάσεως ἐξιόντα εἶπεν· Ἀποκένωσον, ἐπεὶ τῶι παραχύτηι λέγω.

[εὐνοῦχον] Thierfelder | ἐμβάσεως z ἐμβάστως A | ἐπεὶ Hertlein ἐπὶ A

114

A Ἀβδηρίτης εὐνοῦχον ἰδὼν ἐπύθετο αὐτοῦ πόσα παιδία ἔχει. ἑτέρου δὲ εἰπόντος τὸν ὄρχεις μὴ ἔχοντα μὴ δύνασθαι τέκνα γεννῆσαι, ὑπολαβὼν ⟨...⟩

αὐτοῦ Eberhard αὐτῶι A | τεκνογοννῆσαι z

115

AM Ἀβδηρίτης εὐνοῦχον ἰδὼν γυναικὶ ὁμιλοῦντα ἠρώτα ἄλλον εἰ ἄρα γυνὴ αὐτοῦ ἐστι. τοῦ δὲ εἰπόντος εὐνοῦχον γυναῖκα ἔχειν μὴ δύνασθαι ἔφη· Οὐκοῦν θυγάτηρ αὐτοῦ ἐστιν;

προσομιλοῦντα M | ἔφη post Οὐκοῦν collocat z | θυγάτηρ om. M | notam interrogationis add. Dawe

116

(cf. 252)

A Ἀβδηρίτης εὐνοῦχος δυστυχήσας κήλην ἐποίησεν.

117

A Ἀβδηρίτης μετὰ κηλίτου κοιμώμενος καὶ τῆι νυκτὶ πρὸς ἑαυτὸν ἀναστὰς ἐν τῶι ἐπαναστρέφειν σκοτίας οὔσης ἄκων τὴν κήλην ἐπάτησε. τοῦ δὲ κηλίτου κατακράξαντος, αὐτῶι ἔφη· Διὰ τί γὰρ κατακέφαλα κοιμᾶσαι;

118

A Ἀβδηρίτης [περιπατῶν] εἶδε κηλίτην οὐροῦντα καὶ εἶπεν· Οὗτος ἕως ἑσπέρας οὐ μὴ ἐξουρήσηι.

περιπατῶν secludebat Thierfelder

119

(cf. 113)

A Ἀβδηρίτης ἰδὼν κηλίτην ἀπὸ κολύμβου ἐξιόντα, μόλις δὲ περιπατοῦντα, πρὸς αὐτὸν εἶπε· Τί γὰρ ἀπλήστως ἐγόμωσας, μὴ δυνάμενος γενναίως βαστάσαι;

ἐγομώσω seu γεγόμωσαι Boissonade: ἐγόμωσαι z

120

(cf. 141)

A Ἀβδηρίτης ἀκούσας ὅτι κρόμμυα καὶ βολβοὶ φυσῶσιν, ἐν τῶι πλέειν αὐτὸν γαλήνης οὔσης πολλῆς, σάκκον πλήσας ἀπὸ τῆς πρύμνης ἐκρέμασεν.

κρόμμυα z κρόμυα A

121

AM Ἀβδηρίτης ἰδὼν δρόμεα ἐσταυρωμένον εἶπε· Μὰ τοὺς θεοὺς οὗτος οὐκέτι τρέχει, ἀλλὰ πέτεται.

πέτετε M | hic iocus et is qui sequitur Εὐτραπέλωι potius quam Abderitae conveniunt

122

AM Ἀβδηρίτης λεκάνην ἐπώλει μὴ ἔχουσαν ὠτία. τινὸς δὲ ἐρωτήσαντος διὰ τί ἦρεν αὐτῆς τὰ ὠτία ἀπεκρίνατο· Ἵνα μὴ ἀκούσασα ὅτι πωλεῖται φύγηι.

τινὸς δὲ … τὰ ὠτία om. M

123

A Ἀβδηρίτης τὸν πατέρα τελευτήσαντα κατὰ τὸν νό-

μον καύσας δραμὼν εἰς τὴν οἰκίαν πρὸς τὴν μητέρα αὐτοῦ νοσοῦσαν εἶπεν· Ὀλίγα ἔτι περιττεύει ξύλα· ἐὰν οὖν βούληι μὴ ὀδυνᾶσθαι, τοῖς αὐτοῖς κατακαύθητι.

νόμον z ὦμον A | εἰ οὖν βούλει Boissonade | μὴ (seu μηκέτι) ὀδυνᾶσθαι Dawe καὶ δύνασαι A

124

AM Ἀβδηρίτης κατ' ὄναρ χοιρίδιον ἐπώλει καὶ ἐζήτει δηνάρια ἑκατόν. διδόντος δέ τινος πεντήκοντα μὴ βουλόμενος λαβεῖν διύπνισε. καμμύσας οὖν καὶ τὴν χεῖρα προτείνας εἶπε· Δὸς κἂν τὰ πεντήκοντα.

κατόναρ M | δινάρια A | δι' ὕπνησε M | καμμύσας Needham καμύσας AM

125

AM Ἀβδηρίτου στρουθίον ἀπέθανε. μετὰ οὖν χρόνον ἰδὼν στρουθοκάμηλον εἶπεν· Ἐὰν ἔζη τὸ στρουθίον μου, ἤδη ἂν τηλικοῦτον ὑπῆρχεν.

ὑπῆρχε M

126

AM Ἀβδηρίτης εἰς Ῥόδον ἀποδημήσας ὡς ἐκ τοῦ ὀνόματος τοὺς τοίχους ὠσμᾶτο.

τοίχους] vix sanum τείχους M | ὀσμᾶτο M

127

A Ἀβδηρίτης ὀνάριόν τινι χρεωστῶν καὶ μὴ ἔχων παρεκάλει ἵνα ἀντ' αὐτοῦ δύο ἡμιόνους παράσχηι.

ἀνταυτοῦ A

ΣΙΔΟΝΙΟΙ

Hunc titulum exhibent AM: ceteris Sidonii absunt

128
(cf. 100)

A Σιδόνιος ἔπαρχος ἐπὶ ὀχήματος ὥδευεν. ἐπεὶ δὲ ἀτονήσασαι αἱ ἡμίονοι οὐκ ἠδύναντο βαδίζειν, ἀπέλυσεν αὐτὰς ὁ ἡνίοχος, ἵνα μικρὸν βοσκηθεῖσαι ἀναλάβωνται. λυθεῖσαι οὖν ἔφυγον. καὶ ὁ ἔπαρχος πρὸς τὸν ἡνίοχον ἔφη· Ὁρᾶις, κάθαρμα, ὅτι αἱ μὲν ἡμίονοι τρέχουσι, τὸ δὲ ὄχημα δραμεῖν μὴ δυνάμενον ἵσταται.

ἐπεὶ δὲ Eberhard ἐπειδὴ A | οὐκέτι Eberhard | ἀναλάβηται A

129
(cf. 103)

A Σιδόνιος ῥήτωρ μετὰ δύο ἑταίρων διελέγετο. τοῦ δὲ ἑνὸς λέγοντος ὅτι οὐκ ἦν δίκαιον πρόβατα σφάζεσθαι διὰ τὸ φέρειν γάλα καὶ ἔριον, καὶ τοῦ ἄλλου εἰπόντος ὅτι μηδὲ βοῦν ⟨προσήκει⟩ ἀναιρεῖσθαι γάλα παρέχουσαν καὶ ἀροτριῶσαν, ὁ ῥήτωρ ἔφη μηδὲ χοῖρον εἶναι δίκαιον σφάζεσθαι ἧπαρ παρέχουσαν καὶ οὖθαρ καὶ νεφρία.

ἦν] ἐστι Dawe | ⟨προσήκει⟩ Eberhard | γάλα παρέχοντα καὶ ἀροτριοῦντα A: corr. Boissonade | ἧπαρ παρέχουσαν Boissonade ἧπαρ παρέχοντα A

130
(cf. 23)

A Σιδόνιος σοφιστὴς κατὰ πρώτην ἄνοιξιν τοῦ βαλανείου [λουόμενος] ⟨εἰσελθὼν⟩ καὶ μηδένα ἔσωθεν εὑρὼν λέγει πρὸς τοὺς ἰδίους οἰκέτας· Καθὼς βλέπω, οὐ λούει.

εἰσελθὼν pro λουόμενος reponit Thierfelder: cf. 23 λουσόμενος Eberhard

131

(cf. 60)

A Σιδόνιος σχολαστικὸς ἀπὸ πολλῶν μιλίων χωρίον ἔχων καὶ θέλων αὐτὸ ἐγγύτερον ποιῆσαι ἑπτὰ κίονας μιλίων κατέστρεψε.

132

(cf. 42)

AM Σιδόνιος πραγματευτὴς μετὰ ἑταίρου ὥδευε. τῆς δε γαστρὸς ἀναγκαζούσης μικρὸν ἀπολειφθῆναι πρόσω ἀπέμεινεν. ὁ δὲ συνοδοιπόρος ἀφῆκεν αὐτόν, γράψας ἔν τινι [κίονι] τῶν μιλίων· Τάχυνον, φθάσον με. ὁ δέ, ὡς ἀνέγνω, ἐπέγραψε κάτωθεν· Καὶ αὐτὸς μεῖνόν με.

ἑταίρου Dawe ἑτέρου AM | ὥδευε M | ἀποληφθῆναι M | πρόσω ἀπέμεινεν Dawe προσαπέμεινεν AM | τινι] τῇ M | [κίονι] Eberhard | πρόφθασον M | μεῖνόν με] μείνομεν M

133

A Σιδονίωι ἁλιεῖ λέγει τις· Ἔχει τὸ κύρτιν σου παγούρους; ὁ δὲ μανεὶς ἀπεκρίνατο· Ἔχει τὸ στῆθός σου καρκίνους;

134

(cf. 84)

A Σιδόνιος ἑκατόνταρχος τοῖς στρατιώταις ἔλεγεν· Σήμερον πολλὰ καθίσατε· αὔριον γὰρ πολλὰ μέλλετε ὁδοιπορεῖν.

καθήσατε A: corr. Boissonade

135

A Σιδονίωι κηρουλαρίωι λέγει τις· Ἔχεις, κῦρι, ἀποκαύματα; ὁ δὲ ὀργισθεὶς ἀπέκρινατο· Ἔχεις, κῦρι, ἀνθρακώματα;

136

(cf. 92)

A Σιδόνιον γραμματικὸν ἠρώτα ὁ διδασκόμενος· Ἡ πεντακότυλος λήκυθος πόσον χωρεῖ; ὁ δὲ εἶπεν· Οἶνον λέγεις ἢ ἔλαιον;

Σιδόνιος γραμματικὸς ἠρώτα τὸν διδάσκαλον A: corr. Dawe | πεντακότυλος z[c], ut vid. τ e ν statim corr. z[1] πεντακόνδυλος A | λήκυθος z ••κυθος A

137

(cf. 99)

AM Σιδονίωι μαγείρωι λέγει τις· Δάνεισόν μοι μάχαιραν ἕως Σμύρνης. ὁ δὲ ἔφη· Οὐκ ἔχω μάχαιραν ἕως ἐκεῖ φθάζουσαν.

μάγειρος M | facilius iocum intellegeres si post τις liceret supplere ⟨ἐν τῶι αὐτῶι πλοίωι πορευόμενος⟩ vel sim.

138

A Σιδόνιος κεντουρίων ἰδὼν ζευγηλάτην διὰ τῆς ἀγορᾶς ἅμαξαν φέροντα ἐκέλευσεν αὐτὸν τυφθῆναι. τοῦ δὲ εἰπόντος ὅτι Ῥωμαῖός εἰμι, καὶ οὐ χρὴ τύπτεσθαί με διὰ τὸν νόμον, τοὺς βόας ἐκέλευσεν ὁ κεντουρίων μαστιγωθῆναι.

ζευγηλάτην z ζευγελάτην A

139

AM Σιδόνιος ἰατρὸς λεγάτον ὑπὸ ἀρρώστου αὐτοῦ χιλίας δραχμὰς μετὰ τὸ ἀποθανεῖν αὐτὸν κομισάμενος, ἐκφερομένου δὲ αὐτοῦ τῆι κηδείαι ἀκολουθῶν ἐνεκάλει, ὡς ὀλίγον αὐτῶι λεγάτον κατέλιπεν. ἐπεὶ οὖν καὶ ὁ υἱὸς τοῦ τελευτήσαντος εἰς νόσον ἐμπαρεὶς παρεκάλει αὐτὸν ἐπισκεπτόμενον ἀνταγωνίσασθαι τῆι νόσωι, ὁ ἰατρὸς ἔφη· Ἐὰν πεντακισχιλίας δραχμὰς εἰς λεγάτον καταλείψηις, ἐγώ σε ἰατρεύσω ὡς τὸν πατέρα σου.

ἀρώστου A | ἐκφερουμένου A | κηδία M | ἀκολουθὼν M | αὐτῶι] αὐτὸ M | ἐμπλακεὶς Hertlein | καταλείψεις M: cf. Ritter p. 28 | ἰατρεύσω post σου collocat M

ΕΥΤΡΑΠΕΛΟΙ

Titulum om. M Ἐυτράπελοι A, et eundem spiritum semper usurpunt AM in iocis infra descriptis.

140

AM Εὐτράπελος, ἰδὼν γραμματοδιδάσκαλον ἀφυῆ διδάσκοντα, προσελθὼν ἠρώτα διὰ τί κιθαρίζειν οὐ διδάσκει. τοῦ δὲ εἰπόντος Ὅτι οὐκ ἐπίσταμαι, εἶπε· Πῶς οὖν γράμματα διδάσκεις οὐκ ἐπιστάμενος;

cf. Diog. epist. 35 ed. Hercher

141

(cf. 120)

A Εὐτράπελος κυβερνήτης ἐρωτηθεὶς τί φυσᾶι εἶπε· Φάβα καὶ κρόμμυα.

κυβερνίτης A | κρόμμυα z κρόμυα A

142

A Εὐτράπελον ὀφθαλμιῶντα ἰατρὸς [κλέπτης] χρίσας λύχνον ἔκλεψε. μιᾶι οὖν ταῦτα ἠρώτα αὐτόν· Πῶς ἔχεις εἰς τοὺς ὀφθαλμούς; καὶ ὁ εὐτράπελός φησιν· Ἀφ' οὗ με ἔχρισας, τὸν λύχνον οὐ βλέπω αὐτόν.

cf. Aesop. fab. 57 Hausrath | [κλέπτης] Eberhard | χρίσας Thierfelder, qui ἀλείψας (cf. 151 bis) repudiat δανείσας A errore fort. per χρήσας orto | με ἔχρισας Thierfelder μοι ἐδάνεισας A | αὐτὸν del. Mehler τοῦ λύχνου ... αὐγήν Dawe

143

a) A Εὐτραπέλωι ἰατρῶι λέγει τις ⟨...⟩ Ἐὰν κτήσηι [θερμὸν] ἀγγεῖον, θερμόν σε οὐ λείψει.

b) EV Εὐτραπέλωι τις ἰατρῶι λέγει· Πολλοὺς ἄνθρακας ἔχω. κἀκεῖνος ἔφη· Ἐὰν χαλκεῖον ἔχηις, θερμόν σοι †ποτε† οὐ λείψει.

a) [θερμὸν] Thierfelder | exspectares aut σοι aut ἐπιλείψει

b) Εὐτραπέλωι Eberhard Εὐτράπελος EV | ποτε οὐ] οὔποτε Eberhard: ut vid. οὐδέποτε mallet Thierfelder

144

A Εὐτράπελος ἀργὸν δρομέα ἰδὼν εἶπεν· Οἶδα τί χρήιζει ὁ κύριός μου οὗτος. τοῦ δὲ ἀγωνοθέτου ἐρωτήσαντος Τί ἐστιν; εἶπεν· Ἵππου χρήιζει· ἄλλως γὰρ τοὺς ἀνταγωνιστὰς καταλαβεῖν οὐ δύναται.

τίνος χρηίζει z | ὦ κῦρί (κύριέ) Eberhard | χρήιζει[2] ... δύναται utinam olim abesset | καταλαβεῖν z καταβαλεῖν A

145

A Εὐτράπελος κάπηλος εὑρὼν ταξεώτην ἐπὶ τῆι γυναικὶ αὐτοῦ εἶπεν· Εὗρον ὃ οὐκ ἐζήτουν.

verba mercedem exigentis esse videntur

146

a) A Εὐτράπελος χοῖρον κλέψας ἔφευγεν. ἐπεὶ δὲ κατελαμβάνετο, θεὶς αὐτὸν χαμαὶ καὶ δέρων ἔλεγεν· ἐκεῖ ὄρυττε καὶ μὴ παρὰ τὰ ἐμά.

b) EV Εὐτράπελος χοῖρον κλέψας ἔφευγεν. ἐπεὶ δὲ κατελαμβάνετο, θεὶς αὐτὸν ⟨χαμαὶ⟩ ἔτυπτε λέγων· Ἄλλων ὄρυγε καὶ μὴ τὰ ἐμά.

a) κλέψας e b) reponitur: κρύψας A

b) ⟨χαμαὶ⟩ ex a) reponendum | ὤρυγε EV: corr. Thierfelder

147

AM Εὐτράπελος ἰδὼν κακόηχον καὶ κακόφωνον κιθαρῳδὸν ἠσπάσατο λέγων Χαῖρε, ἀλεκτρυών. τοῦ δὲ πυθομένου διὰ τί αὐτὸν οὕτως προσηγόρευσεν, ἔφη· Ὅτι ὅταν σὺ κοκκύσηις πάντες ἐγείρονται.

κοκκύσηις edd. κοκύσης A κοκίσης M

148

A Εὐτράπελος φλυάρου κουρέως ἐρωτήσαντος Πῶς σε κείρω; Σιωπῶν, ἔφη.

cf. Plut. mor. 177a2; 509a; Stob. 3.13.49 | σε κείρω z ἐκείρω A

149

a) A Εὐτράπελος ἐν βαλανείωι ὑπό τινος ὑβρισθεὶς μάρτυρας προσέφερε τοὺς παραχύτας. τοῦ δὲ ἀντιδίκου ἀποβαλλομένου ὡς μὴ ὄντας ἀξιοπίστους ἔφη· Εἰ μὲν ⟨ἐν⟩ τῶι δουρείωι ἵππωι ὑβρίσθην, προήγαγον ἂν μάρτυρας τοὺς περὶ Μενέλαον καὶ Ὀδυσσέα καὶ Διομήδην· ἐν δὲ τῶι βαλανείωι τῆς ὕβρεως γενομένης ἀνάγκη τοὺς παραχύτας τὸ πραχθὲν μᾶλλον εἰδέναι.

b) EV Ὕβρεως ἐν βαλανείωι γενομένης εὐτράπελος ῥήτωρ κατηγόρει καὶ μάρτυρας ἐκάλει τοὺς περιχύτας. τῶν δὲ ἀποβαλλομένων ὡς μὴ ὄντων ⟨ἀξιοπίστων⟩, ἔφη· Εἰ μὲν ἐν τῶι δουρίωι ἵππωι ἦν, παρέσχον ἂν μάρτυρας Μενέλαον καὶ Ὀδυσσέα καὶ Διομήδην· εἰ δὲ ἐν βαλανείωι, ἀνάγκη τοὺς περιχύτας τὸ πραχθὲν μᾶλλον εἰδέναι.

a) cf. Gnomol. Vat. 241 | ὑβρισθεὶς z ὀργισθεὶς A | ⟨ἐν⟩ Boissonade

b) ⟨ἀξιοπίστων⟩ ex a) Boissonade

150

A Εὐτράπελος [δύο] ξύστρων παρ' αὐτοῦ ⟨ὑπὸ δύο⟩ ἐν βαλανείωι ἐπιζητουμένων, ὑπὸ ἑνὸς μὲν ἀγνωρίστου, ὑπὸ δὲ ἑτέρου γνωρίμου μὲν ἀλλὰ κλέπτου, ὁ δὲ ἔφη· Σὲ μὲν ⟨μὴ⟩ γνωρίζων οὐ δώσω· σὲ δὲ [μὴ] γνωρίζων οὐ δώσω.

cf. Plut. mor. 534 b | [δύο] et ⟨ὑπὸ δύο⟩ Dawe | ὁ δὲ Dawe ὁ εὐτράπελος A | ⟨μὴ⟩ et [μὴ] Thierfelder

151

A + EV Εὐτράπελος ἰδὼν πορνοβοσκὸν μισθοῦντα μέλαιναν ἑταιρίδα εἶπε· Πόσου τὴν νύκτα μισθοῖς;

υτράπελος V, ε om. rubricator

151 *bis*

a) A Εὐτράπελος ἰδὼν ἰατρὸν κόρην ὑπαλείφοντα ἔφη· Ὅρα, νεανίσκε, μὴ τὴν ὄψιν θεραπεύων τὴν κόρην διαφθείρῃς.

b) EV Εὐτράπελος ἰδὼν ἰατρὸν ὡραίαν νεάνιδα ὑπαλείφοντα ἔφη· Μὴ τὴν ὄψιν θεραπεύων τὸ βάθος φθείρῃς.

a) κόρην] νεάνιδα ⟨ὀφθαλμιῶσαν⟩ ante divisionem in a) et b) olim stetisse censet Thierfelder

b) ὡραίαν ante νεανίδα collocat Dawe, post ὑπαλείφοντα EV

152

(cf. 13)

a) A Εὐτράπελοι δύο πατραλοῖαι πρὸς ἀλλήλους ἐδυσφόρουν ⟨ἐπὶ τῶι ζῆν⟩ [πρὸς τὸ φονεῦσαι] τοὺς ἑαυτῶν γονεῖς. ὁ δὲ ἕτερος πρὸς τὸν ἄλλον ἔφη· Ἵνα μὴ πατροκτόνοι παρά τισι λογισθῶμεν, σὺ φόνευσον τὸν ἐμὸν πατέρα κἀγὼ τὸν σόν, καὶ κακῆς φεύγομεν φήμης.

b) EV Δύο εὐτραπέλων πρὸς ἀλλήλους δυσφορούντων ⟨ἐπὶ τῶι ζῆν⟩ [ἐπὶ τὸ φονεῦσαι] τοὺς ἑαυτῶν γονεῖς ἔφη ὁ εἷς πρὸς τὸν ἕτερον· Ἐὰν αὐτοχείρως τοῦτο πράξωμεν, πατραλοῖαι λογισθῆναι ἔχομεν. ἀλλὰ σὺ μᾶλλον διαχείρισαι τὸν ἐμὸν κἀγὼ τὸν σόν· καὶ κακῆς φήμης ἐκφεύγομεν.

a) supplevit et delevit Thierfelder: locutiones in suspicionem iam vocavit Minas | φεύξομεν z: καὶ κακῆς φεύγωμεν φήμης post λογισθῶμεν trai. Minas

b) supplevit et delevit Thierfelder | ὁ om. V | διαχείρισε V | τὸν σὸν om. E^{ac}, add. i. m. E^{1} | ἐκφεύγομεν Dawe ἐκφύγομεν EV, quod defendit Ritter p. 56 ἐκφύγωμεν de Rhoer | post hanc fabellam τέλος subscr. E: in V nihil sequitur ad Philogelon attinens

153

AM Εὐτράπελος παλαίων εἰς πηλὰ ἐνέπεσε καὶ ἵνα μὴ δοκῆι ἀπάλαιστρος εἶναι περιστραφεὶς καὶ δι' ὅλου πηλωθεὶς ἀνέστη ἐναβρυνόμενος.

δοκεῖ M | ἀπάλαιστρος Thierfelder ἀπάλαιστος A -ον M | διόλου M | ἐν ἀμβρυνόμενος M (cf. 54)

ΚΥΜΑΙΟΙ

hunc titulum solus servat A

154

A Ἐν Κύμηι ἐπισήμου τινὸς κηδευομένου προσελθών τις ἠρώτα τοὺς ὀψικεύοντας Τίς ὁ τεθνηκώς; εἷς δὲ Κυμαῖος στραφεὶς ὑπεδείκνυε λέγων Ἐκεῖνος ὁ ἐπὶ τῆς κλίνης ἀνακείμενος.

εἷς Eberhard ὁ A

155

(cf. 4)

A Κυμαίωι ἵππον πιπράσκοντι προσελθών τις ἠρώτα εἰ πρωτοβόλος ὁ ἵππος. τοῦ δὲ εἰπόντος ὅτι δευτεροβολεῖ, ἔφη· Πῶς οἶδας; ὁ δὲ εἶπεν· Ὅτι ἅπαξ ἐμὲ κάτω ἔβαλε καὶ ἅπαξ τὸν πατέρα μου.

πρωτόβολος A

156

(cf. 41)

A Κυμαῖος οἰκίαν πωλῶν λίθον ἐξ αὐτῆς ἐκβαλὼν εἰς δεῖγμα περιέφερεν.

ἐκλαβὼν Hertlein

157

(cf. 10)

A Κυμαῖος ἵππον πιπράσκων ἠρωτήθη μὴ δειλὸς εἴη. ὁ δὲ ἀπεκρίνατο· Οὐ μὰ τὴν σωτηρίαν μου· ἐν τῆι φάτνηι γὰρ μόνος εἱστήκει.

εἱστήκει Eberhard εἱστία A

158

(cf. 35)

A Κυμαῖος κλεψιμαῖα ἱμάτια ἀγοράσας διὰ τὸ μὴ γνωρισθῆναι ἐπίσσωσεν αὐτά.

158 *bis*

(cf. 37)

A Κυμαῖος ἵππον ἐπίπρασκεν. ἐλθόντος δέ τινος καὶ καταμανθάνοντος αὐτοῦ τὸν βόλον εἶπε πρὸς αὐτόν· Τί τοὺς ὀδόντας αὐτοῦ καταμανθάνεις: εἴθε ὡς τρώγει, οὕτως καὶ περιεπάτει.

159

AM Κυμαῖος ἅλωνα μεγάλην ποιήσας ἔστησεν ἄντικρυς τὴν γυναῖκα αὐτοῦ καὶ ἠρώτα εἰ βλέπει αὐτόν. τῆς δὲ εἰπούσης ὅτι μόλις αὐτὸν βλέπει, ἔφη ἐκεῖνος· Ἀλλ' ἐγὼ εἰς καιρὸν τηλικαύτην ποιήσω ἅλωνα ἵνα μήτε ἐγὼ σὲ μήτε σὺ ἐμὲ ἴδηις.

ἔστησεν ἄντικρυ M | ἠρῶτα AM | ποιήσω] fort. ποιήσας M^{ac}, corr. M^{1} | quo spectet hic iocus nemo dum intellexit

160

AM Κυμαῖος ἐπιζητῶν φίλον ἐκάλει αὐτὸν πρὸ τῆς οἰ-

κίας ὀνομαστί. ἑτέρου δὲ εἰπόντος Ὑψηλότερον φώνησον ἵνα ἀκούσηι, ἀφεὶς τὸ ὄνομα ὃ ἤιδει ἐβόα· Ὑψηλότερε.

ἀκούσει M | ὃ ἤιδει] del. Eberhard

161

AM Κυμαῖος δανειστοῦ οἰκίαι ἐπιβουλεύων καὶ θέλων τὰ μείζονα δάνεια κλέψαι τὰ βαρύτερα χάρτια ἐπελέγετο.

162

AM Κυμαίων πόλιν τειχιζόντων εἷς τῶν πολιτῶν Λολλιανὸς καλούμενος δύο κορτίνας ἰδίοις ἐτείχισεν ἀναλώμασι. πολεμίων δὲ ἐπιστάντων ὀργισθέντες ⟨...⟩ οἱ Κυμαῖοι συνεφώνησαν ἵνα τὸ Λολλιανοῦ τεῖχος μηδεὶς φυλάξηι ἀλλ' ἐκεῖνος μόνος.

⟨τὴν⟩ πόλιν Eberhard | Λολιανὸς M | lacunam indicavit Dawe: irae causa desideratur | Λουλιάνου M | φυλάξει M

163

A Κυμαῖοι προσδοκῶντες ἐξ ἀποδημίας φίλον αὐτῶν ἀξιότιμον καὶ βουλόμενοι αὐτὸν ἐν τῶι βαλανείωι διὰ καθαροῦ ὕδατος τιμῆσαι, μίαν ἔχοντες κολυμβήθραν, ταύτην ὕδατος θερμοῦ καθαροῦ πλήσαντες ἐν μέσωι αὐτῆς κάγκελλον τρητὸν ἔβαλον ὅπως τὸ ἥμισυ τοῦ ὕδατος καθαρὸν τῶι προσδοκωμένωι τηρῆται φίλωι.

τρητὸν Minas τρίτον A: adjectivum supervacaneum esse iudicat Thierfelder

164

AM Κυμαῖος ἐν τῶι κολυμβᾶν βροχῆς γενομένης διὰ τὸ μὴ βραχῆναι ἐς τὸ βάθος κατέβη.

165

AM Κυμαῖος θυρίδας ἀγοράζων ἠρώτα εἰ δύνανται πρὸς μεσημβρίαν βλέπειν.

δύνανται Boissonade δύνωνται AM

166

ACM Κυμαῖος ὄνωι καθήμενος παρὰ κῆπον ὥδευεν. ἰδὼν οὖν κλάδον συκῆς ὑπερέχοντα σύκων ὡρίμων πεπληρωμένον ἐπελάβετο τοῦ κλάδου. τοῦ δὲ ὄνου ὑπεκδραμόντος ἀπεκρεμάσθη, καὶ τοῦ κηπουροῦ ἐρωτήσαντος τί ἐκεῖ ποιεῖ κρεμάμενος ἔλεγεν· Ἐκ τοῦ ὄνου ἔπεσα.

ὄνωι καθήμενος satis defendit καθεσθέντα ὄνωι Justin Martyr dial. 88.6 (Migne 6.688 A) | παρακαθήμενος M | ὤδευεν M | ὑπερέχοντα Eberhard ὑπέχοντα A ἐπέχοντα M | ὁρίμων M | ἀπεκρεμμάσθη A | κηπωροῦ M et C, qui hinc incipit | ἐρωτήσαντος] αἰτήσαντος C | ἐκεῖ ποιεῖ] ποιεῖ ἐκεῖ C ἐκ σοῦ ποιεῖ M | κρεμμάμενος AC | ἔκ του Dawe

167

ACM Κυμαῖος ἰδὼν πρόβατον συμπεποδισμένον καὶ οὕτω κειρόμενον εἶπεν· Εὐχαριστῶ τῶι κουρεῖ μου ὅτι οὐδέποτέ με δήσας ἔκειρεν.

συμπεποδηγμένον C | κηρόμενον M | κουρεῖ Bursian et eodem anno (1870 A. D.) Haupt κυρίω ACM | ἔκειρεν A^{2pc} ἔκειρε A^{ac}C ἔκηρε M

168

AC Κυμαῖος τοῦ πατρὸς αὐτοῦ ἀποδημήσαντος εἰς βαρὺ ἔγκλημα πεσὼν θανάτωι κατεδικάσθη. ἀπιὼν δὲ παρεκάλει πάντας, ἵνα ὁ πατὴρ μὴ γνῶι, ἐπεὶ μέλλει αὐτῶι θανασίμους πληγὰς ἐπιφέρειν.

εἰσφέρειν C

169

A Ὁ αὐτός, τινὸς αὐτῶι εἰπόντος ὅτι Ἐσύλησάς με· Μὴ ὑποστρέψω, ⟨εἶπεν⟩, ἔνθεν ἄπειμι, εἰ ἐσύλησά ⟨σε⟩.

⟨εἶπεν⟩ Boissonade | ⟨σε⟩ ante aut post ἐσύλησα suppl. Dawe

170

ACM Κυμαίου τις ἐπύθετο ποῦ μένει Δρακοντίδης ὁ ῥήτωρ. ὁ δέ, Μόνος εἰμί, εἶπεν· Εἰ δὲ θέλεις, τήρει τὸ ἐργαστήριον, κἀγὼ ἀπελθὼν δείξω σοι.

Κυμαίου z^{pc} Κυμαίω A Κυμαῖος CMz^{ac} | δρακοντίδος M | ὁ δέ] om. AM | τήρη M

171

AC Κυμαῖος ἐπ' Ἀλεξανδρείαι τοῦ πατρὸς αὐτοῦ ἀποθανόντος τὸ σῶμα τοῖς ταριχεύταις ἔδωκε. μετὰ δὲ χρόνον ἐζήτει αὐτὸ ἀπολαβεῖν. τοῦ δὲ ἔχοντος καὶ ἄλλα σώματα καὶ ἐρωτῶντος τί σημεῖον ἔχει [ἡ τοῦ πατρὸς αὐτοῦ θήκη] ⟨ὁ πατὴρ αὐτοῦ⟩ ἀπεκρίθη· Ἔβησσεν.

ταρυχεύταις C | ἔδωκε C δέδωκεν A^{ac} -κε A^{pc} | τοῦ δὲ ⟨ταριχευτοῦ⟩ Boissonade | τοῦ πατρὸς αὐτοῦ ἡ θήκη C: quae secludenda et supplenda sint monet Thierfelder | ἔβησσεν Eberhard ἔβισσεν A ἔβισσον, dein duas literas, fort. iterum -ον, C

172

(cf. 210)

AM Κυμαῖος πύκτην ἰδὼν πολλὰ τραύματα ἔχοντα ἠρώτα πόθεν ἔχει ταῦτα. τοῦ δὲ εἰπόντος Ἐκ τοῦ μύρμηκος, ἔφη· Διὰ τί γὰρ χαμαὶ κοιμᾶι;

173

ACM Κυμαῖος μέλι ἐπίπρασκεν, ἐλθόντος δέ τινος καὶ γευσαμένου καὶ εἰπόντος ὅτι πάνυ καλόν, ἔφη· Εἰ μὴ γὰρ μῦς ἐνέπεσεν εἰς αὐτό, οὐκ ἂν ἐπώλουν.

γευσάμενος M | μὴ om. M | μὺς M | εἰς αὐτὸ] αὐτῶι C

174

ACM Κυμαῖον νοσοῦντα ἀπήλπισεν ἰατρός. ὁ δὲ ὑγιάνας περιέκαμπτε τὸν ἰατρόν. ἐρωτηθεὶς οὖν τὴν αἰτίαν ἀπεκρίνατο· Εἰπόντος σου ⟨ὅτι⟩ ἀποθνήισκω, αἰσχύνομαι ζήσας.

Κυμαῖον ἀπήντισεν ὁ ἰατρὸς νοσοῦντα M | ⟨ὅτι⟩ Thierfelder, monente Eberhard | ζήσας C δὲ ζήσας AM

175

A Κυμαῖος ἰατρὸς ἄρρωστον τριταΐζοντα εἰς ἡμιτριταῖον περιστήσας τὸ ἥμισυ τοῦ μισθοῦ ἀπήτει.

175 *bis*

(cf. 3)

A Κυμαίωι ἰατρῶι σχολαστικὸς προσελθὼν εἶπε· Σοφιστά, ὅταν ἐκ τοῦ ὕπνου ἀναστῶ, ἐπὶ ἡμιώριον ⟨...⟩ διύπνισον.

Κυμαίωι z et fort. A^{2pc} Κυμαί A^{ac} | προσελθὼν z προσελθὸν A | quae supplenda sint facile e § 3 colligas

176

A Κυμαῖος ἰατρὸς ἀπεγνωσμένον ἄρρωστον ἐνημάτισεν, ἐκέλευσε δὲ ⟨θεράποντα⟩ τὰ ἐκκεχωρισμένα ἰδεῖν. τοῦ δὲ δείξαντος καὶ εἰπόντος ὅτι ἀπέθανεν, ὁ ἰατρὸς μεθ' ὅρκου ἀπεκρίνατο· Οὗτος, εἰ μὴ ἐκλύσθη, ἐλάκησεν ἄν.

ἐνευμάτισεν A: corr. Boissonade: ἐνεμμάτισεν iam Minas | ⟨θεράποντα⟩ Dawe | ἐκκεχωρημένα A: corr. Eberhard | οὗτος Kurtz οὕτως A | ἐλάκισεν A: corr. Boissonade

177

A Κυμαῖος ἰατρὸς τέμνων τινὰ δεινῶς ἀλγοῦντα καὶ βοῶντα ἀμβλύτερον σμίλην μετέλαβεν.

178

AC Κυμαῖοι δύο ἰσχάδων κεράμια δύο ἐπρίαντο. τούτων δὲ ὁ ἕτερος τὸν ἕτερον λανθάνων οὐκ ἐκ τοῦ ἰδίου ἀλλ' ἐκ τοῦ ἑτέρου κατήσθιεν. ὡς δὲ τοῖς ἀλλήλων κατεχρήσαντο, ἕκαστος ἐπὶ τὸ ἴδιον ἐπιστρέψας εὗρεν αὐτὸ κενόν. ἀλλήλων οὖν ἐπιλαβόμενοι ἤγοντο ἐπὶ τὸν ἄρχοντα. διαγνοὺς δὲ ὁ ἄρχων ἐκέλευσε τὰ κενώματα ἀλλάξαι καὶ τὰς τιμὰς ἀλλήλοις ἀποδοῦναι.

in initio C vix legitur | ἐκ ⟨τοῦ⟩ τοῦ ἑτέρου Dawe | τοῖς] τῆς C | κατεχρήσατο C | ἀλλήλοις] -ους C

179

A Ἐν Κύμηι δημαγωγὸς ἐν ἐκκλησίαι κατηγορηθεὶς

Ἄνδρες, ἔφη, πολῖται, εἰ μὲν κατεψευσμένοι μου τὰς διαβολάς εἰσιν οὗτοι, γένοιτο αὐτοῖς παρ' ὑμῶν καταγνωσθῆναι· εἰ δέ τι ἐγὼ τούτων πεποίηκα, πάντων ὑμῶν καθημένων ἐμοὶ μόνωι τὸ θέατρον ἐπιπέσοι.

κατεψευμένοι A[ac], corr. A[2] | παρ' ὑμῶν Eberhard παρ' ὑμῖν A | τούτων Thierfelder τούτοις A | μόνωι z μόνον A

180

A Κυμαῖος ἄρχων τοιαῦτα κηρύγματα ἐκήρυξεν· Οἱ ἔφοροι μετὰ τὴν θυσίαν παραχρῆμα τὰς ἑαυτῶν βύρσας ἀναφερέτωσαν πρὸς τὸν ἱερέα. Οἱ δὲ βουλευταί, ἔλθετε εἰς τὸ βουλευτήριον καὶ μὴ βουλεύεσθε. Οἱ δὲ μάγειροι τὰ ἴδια ὀστέα ὑπὲρ τὸ τεῖχος βαλλέτωσαν. Οἱ δὲ σκυτεῖς μικροὺς καλάποδας μὴ ἐχέτωσαν.

181

A Κυμαῖοι εἰς ψηφοφορίαν ἀπαντήσαντες καὶ γνόντες πολλοὺς ἐκ τῶν ἄλλων πόλεων ἀπολειφθέντας, αἰτιωμένους τὴν ἀτραπόν, Μὴ μωροί, ἔφασαν, ⟨φανεῖσθε⟩, ἐὰν καὶ ἡμεῖς εἰς τὸ μέλλον οὐκ ἐρχόμεθα;

αἰτιώμενοι A: corr. Thierfelder | ἔφασαν Eberhard ἔφη A | ⟨φανεῖσθε⟩ Dawe

182

AC Κυμαῖος ⟨ἰατρὸς⟩ τετρωμένην κεφαλὴν τέμνων ὕπτιον θεὶς τὸν πάσχοντα ὕδωρ εἰς τὸ στόμα ἐνέβαλεν ἵνα ἴδηι ⟨εἰ⟩ διὰ τοῦ χειρουργηθέντος τόπου ἐκρεύσει.

⟨ἰατρὸς⟩ Thierfelder | τετριμμένην C | ἔβαλεν C | ⟨εἰ⟩ Dawe | τόπου Dawe τὸ πότε A ὅποτε C

ΔΥCΚΟΛΟΙ

hunc titulum habet A: περὶ δυσκόλων MEV

183

AM Δυσκόλωι ἰατρῶι προσελθών τις εἶπε· Σοφιστά, ἀνακεῖσθαι οὐ δύναμαι οὔτε ἑστάναι, ἀλλ' οὐδὲ καθῆσθαι. καὶ ὁ ἰατρὸς εἶπεν· Οὐδέν σοι λείπει ἢ κρεμασθῆναι.

ἀλ'λ' ουδὲ M | καθεῖσθαι AM | κρεμμασθῆναι A

184

a) A Δυσκόλωι ἰατρῶι τις λέγει· Τί ποιήσω, ὅτι αἷμα κάθημαι καὶ χολάς; κἀκεῖνος πρὸς αὐτὸν εἶπεν· Ἐὰν καὶ τὰ ἔντερά σου ἐκβάληις, ἐγὼ οὐ χολῶ.

b) EV Δυσκόλωι ἰατρῶι λέγει τις· Τί ἐστιν, ὅτι αἷμα χέζω καὶ χολάς; κἀκεῖνος ἔφη· Ἐὰν καὶ τὰ ἔντερά σου χέσηις, ἐγὼ οὐ χολῶ.

a) αἷμα ⟨ἐκβάλλω ὅτε⟩ Boissonade | χολάς] subaudi χολᾶις
b) χαίζω et χαίσης V

185

a) ACM Δύσκολος ἰατρὸς ἑτερόφθαλμος ἠρώτα νοσοῦντα· Πῶς ἔχεις; ὁ δὲ εἶπεν· Ὡς βλέπεις. ὁ δὲ ἰατρὸς ἔφη· Ἐὰν ὡς ἐγὼ βλέπω ἔχεις, τὸ ἥμισύ σου ἀπέθανεν.

b) E Δύσκολος ἰατρὸς ἑτερόφθαλμος ἀρρώστωι ἔφη· Πῶς ἔχεις; ὁ δέ· Ὡς βλέπεις. †εἶπε δὲ ἐάν...

a) νοσοῦντα post δύσκολον (sic) collocat C | ὁ δὲ εἶπεν C εἶπεν AM | ὁ δὲ ἰατρὸς] ὁ δὲ C | ἔχεις M ἔχῃς AC | ἥμυσί M | ἀπέθανε CM

186

ACM Πρὸς δύσκολον ἰατρὸς προσελθὼν καὶ ἁψάμενος αὐτοῦ εἶπε· Κακὰ πυρέττεις. ὁ δὲ ἀποκριθεὶς εἶπεν· Εἰ δύνασαι σὺ κρείττω πυρέττειν, ἰδοὺ κλίνη· ἀναπεσὼν πύρεττε.

πρὸς] π om. M | κακὰ] πολλὰ C κάκιστα Thierfelder | ἀποκριθεὶς] om. C | πυρ ἔττεις M | κρειττόνως C | καὶ ἀναπεσὼν C

187

a) A Δύσκολος ἀστρολόγος παιδὸς νοσεροῦ γένεσιν λέγων, πολυχρόνιον αὐτὸν τῆι μητρὶ ὡς ἐπαγγειλάμενος ᾔτει τὸν μισθόν. τῆς δὲ εἰπούσης Ἐλθόντι σοι αὔριον δώσω, ἔφη· Τί οὖν, ἐὰν τὴν νύκτα ἀποθάνηι καὶ ἐγὼ τὸν μισθὸν ἀπόλλω;

b) EV Δύσκολος ἀστρονόμος παιδὸς νοσεροῦ γένεσιν εἰπών, πολυχρόνιον ἔσεσθαι ὡς ἐπαγγειλάμενος ᾔτει τὸν μισθόν. τῆς δὲ μητρὸς εἰπούσης Αὔριον δώσω, Τί οὖν, ἔφη, ἐὰν τῆι νυκτὶ ἀποθάνηι; ἐγὼ τὸν μισθὸν ἀπολέσω;

a) γένεσιν de Rhoer γέννησιν A | πολυχρόνιον z πολλυ- A | αὐτὸν Boissonade αὐτὸ A | [ὡς] Thierfelder | ἀποθάνηι; [καὶ] idem

b) γένεσιν de Rhoer γέννησιν EV

188

a) AM Δυσκόλου κεράμιον μέλιτος ἀγοράσαντος καὶ ὑπό τινος ἐρωτηθέντος πόσου ἠγόρασεν, καταστρέ-

φων τὸ κεράμιον ἔλεγεν· Οὕτω μου ἐκχυθήτω τὸ αἷμα, ἐὰν εἴπω ὑμῖν.

b) EV Δύσκολος μέλιτος κεράμιον ἀγοράσας συνεχῶς ἠρωτᾶτο πόσου ἠγόρασε. καταστρέφων οὖν τὸ κεράμιον ἔφη· Οὕτως χυθήτω μου το αἷμα, ἐὰν εἴπω ὑμῖν.

a) ἐκχυθήτω Eberhard ἐκχυθῇι AM ἐκχυθείη z | ἡμῖν A
b) ἠρωτᾶτο E[c]

189

ACM Πρὸς δύσκολον ἄρρωστον ἰατρὸς προσελθὼν προσέταξε ψιχία μετὰ στρουθίου φαγεῖν, καὶ ὁ δύσκολος εἶπε· Πῶς δύναμαι εἰς τὸ κλουβίον εἰσελθεῖν ἵνα φάγω μετὰ τοῦ στρουθίου τὰ ψιχίδια;

ψιχία] ψιχίαν C ψυχία M | μετὰ[1]] μετὰ τοῦ C | τὸ om. M | κλουβίν C | ψυχιδία M

190

a) A Δυσκόλου ταυλίζοντος κατεπέτασσέ τις ἀργὸς καθήμενος. ὁ δὲ θυμούμενος ἠρώτησεν αὐτόν· Ποίαν ⟨οἶδας⟩ τέχνην; καὶ διὰ τί ἀργεῖς; ἐκείνου δὲ εἰπόντος ὅτι Ῥάπτης εἰμί, ἔργον δὲ οὐκ ἔχω, διαρρήξας αὐτοῦ τὸν χιτῶνα καὶ ἐπιδοὺς εἶπε· Λαβὼν ἐργάζου καὶ σιώπα.

b) EV Δυσκόλου ταυλίζοντος κατεπέτασσέ τις. ὁ δὲ θυμωθεὶς ἠρώτησεν εἰ τέχνην οἶδε καὶ διὰ τί ἀργεῖ. τοῦ δὲ φήσαντος Ῥάπτειν οἶδα, ἔργον δὲ οὐκ ἔχω, διαρρήξας τὸ ἱμάτιον αὐτοῦ εἶπε· Λάβε καὶ ἐργάζου καὶ σιώπα.

a) κατεπέτασσέ z καταπέτασε A | ποίαν ⟨οἶδας⟩ τέχνην Dawe ποίας τέχνης A | τὸν ἑαυτοῦ χιτῶνα z

b) κατεπήδησε EV

191

AEV Δύσκολόν τις ἠρώτα· Ποῦ μένεις; ὁ δὲ εἶπεν· Ἐκεῖθεν μεταβαίνω.

ὁ δὲ ἔφη· κἀκεῖθεν EV

192

A Δυσκόλωι τις ναυκλήρωι ἀπαντήσας εἶπε· Τὸν ἐπίπλουν σου εἶδον ἐν Ῥόδωι, κἀκεῖνος ἀπεκρίνατο· Κἀγώ σου εἶδον τὸ ἧπαρ ἐν Σικελίαι.

Σικελίαι z Σικελλία A

193

a) ACM Δύσκολόν τις ἐζήτει. ὁ δὲ ἀπεκρίνατο· Οὐκ εἰμὶ ὧδε. τοῦ δὲ γελάσαντος καὶ εἰπόντος Ψεύδη· τῆς γὰρ φωνῆς σου ἀκούω, εἶπεν· Ὦ κάθαρμα, εἰ μὲν ὁ δοῦλός μου εἶπεν, εἶχες ἂν αὐτῶι πιστεῦσαι· ἐγὼ δέ σοι οὐ φαίνομαι ἀξιοπιστότερος ἐκείνου εἶναι;

b) EV Δυσκόλωι τις ἐφώνει. ὁ δὲ ἀπεκρίνατο· Οὐκ εἰμὶ ἐγὼ ⟨ὧδε⟩. τοῦ δὲ εἰπόντος ὅτι Ψεῦδος· τῆς φωνῆς σου γὰρ ἀκούω, ἔφη· Ὦ κάθαρμα, εἰ μὲν ὁ παῖς μου εἶπεν, ἐπείσθης ἄν· ἐγὼ δὲ οὐ φαίνομαί σοι ἀξιοπιστότερος εἶναι;

cf. Cic. de or. 2.68 (276)

a) προσεζήτει C | ὧδε C | ψεύση C ψεύδει M | αὐτὸ C | ἀξιόπιστος C |

b) ⟨ὧδε⟩ Dawe | ἀξιόπιστος V, verum V[1] i. m. |

194

a) A Δύσκολος σκάλαν καταβαίνων σφαλεὶς κατέπεσε. τοῦ δὲ οἰκοκυροῦ εἰπόντος Τίς ἔνι ἐκεῖ; ἀπεκρίνατο· Ἐγὼ ⟨ἔσω⟩ τοῦ ἐνοικίου μου ἐλάκησα. τί πρὸς σέ;

b) EV Δύσκολος ἀπὸ σκάλας καταβαίνων ἔπεσε. τοῦ δὲ αὐθέντου εἰπόντος Ἐκεῖ τίς ἔπεσεν; ἔφη· Ἐγὼ ⟨ἔσω⟩ τοῦ ἐνοικίου μου. τί πρὸς σέ;

a) εἰπόντος οἰκοκυροῦ hoc ordine A: corr. Boissonade | ⟨ἔσω⟩ Dawe

b) Δύσκολος τὶς V

195

AM Δυσκόλωι τις συγκλητικῶι ἔλεγε· Μικρόν σε ποθῶ ἰδεῖν [καὶ συντυχεῖν]. ὁ δὲ ἀπεκρίνατο· Κἀγὼ σὲ ἰδεῖν θέλω τυφλὸν καὶ χωλόν.

[καὶ συντυχεῖν] Dawe

ΑΦΥΕΙϹ

sic A : περὶ ἀφυῶν M

196

A Ἀφυὴς γραμματικὸς ἐρωτηθεὶς πῶς δεῖ λέγειν, τοῖς δύο ἢ τοῖς δυσί; ὁ δὲ τὴν χεῖρα προτείνας τοὺς δύο ὑπεδείκνυε δακτύλους.

197

AM Ἀφυὴς γραμματικός, ἐρωτηθεὶς Ἡ μήτηρ Πριάμου τίς ἐκαλεῖτο, ἀπορῶν ἔφη· Ἡμεῖς κατὰ τιμὴν κυρίαν αὐτὴν καλοῦμεν.

198

AM Ἀφυὴς κουρεὺς τοῖς ὑπ' αὐτοῦ πληττομένοις ἔμπλαστρα προσετίθει. ἑνὸς δὲ αἰτιασαμένου αὐτὸν ἔφη· Ἀχάριστε, μάτην ἀγανακτεῖς· ἑνὸς γὰρ δηναρίου ξυράμενος τεσσάρων δηναρίων ἔμπλαστρα ἔλαβες.

ἐτίθει M | ξηράμενος M | διναρίου A^{ac}M, corr. A^{2} | διναρίων A^{ac}M, corr. A^{2} | ἔβαλας M

199

A Ἀφυὴς μαθητὴς κακῶς τινα κείρας καὶ παρωνυχίδας ποιήσας, καὶ διὰ τοῦτο ὑπὸ τοῦ ὀνυχιζομένου ἀπωσθείς, ἀνεβόησεν· Ἐπιστάτα, τί οὐκ ἀφίησί με μαθεῖν;

⟨κουρέως⟩, κακῶς Eberhard | παρωνυχίδας z παρονυχίδας A | ἀφίησί Kurtz ἀφίης A

200

A Ἀφυὴς μαθητὴς ὑπὸ τοῦ ἐπιστάτου κελευσθεὶς ὀνυχίσαι οἰκοδεσπότην ἐδάκρυσε. τοῦ δὲ τὴν αἰτίαν ἐρωτήσαντος ἔφη· Φοβοῦμαι [καὶ κλαίω]· μέλλω γὰρ τραυματίσαι σε καὶ παρωνυχίδας ποιήσεις, καὶ τύψει με ὁ ἐπιστάτης.

καὶ κλαίω secludebat Thierfelder | παρωνυχίδας z παρονυχίδας A

201

A Ἀφυεῖ μάντει προσελθών τις ἐξ ἀποδημίας ἐπανιὼν ἠρώτα περὶ τῶν οἰκείων. ὁ δὲ εἶπεν· Ὑγιαίνουσι πάντες, καὶ ὁ πατήρ σου. τοῦ δὲ εἰπόντος ὅτι Ὁ πατήρ μου δέκατον ἔτος ἔχει ἀφ' οὗ ἀπέθανεν, ἀπεκρίνατο· Οὐδὲν γὰρ οἶδας τὸν κατὰ ἀλήθειάν σου πατέρα.

ἄρ' οἶδας κατὰ τὸν κατὰ Dawe

202

AC Ἀφυὴς μαθηματικὸς παιδίου γένεσιν λέγων εἶπεν· Οὗτος ἔσται ῥήτωρ, εἶτα ἔπαρχος, εἶτα ἡγεμών. τεθνηκότος οὖν τοῦ παιδὸς τούτου ἡ μήτηρ ἀπαντήσασα εἶπεν· Ὃν ἔλεγες ῥήτορα ἔσεσθαι καὶ ἄρχοντα καὶ ἡγεμόνα ἀπέθανεν. ὁ δὲ ἔφη· Μὰ τὴν αὐτοῦ μνήμην, ἐὰν ἔζησε, πάντα ταῦτα ἂν ἐγένετο.

μαθητικὸς A | οὗτος C[c] | ῥήτωρ ἔσται C | εἶπεν· Ὃν A ἔφη· Ὃν C | τὴν αὐτοῦ μνήμην] de ordine verborum cf. B–D § 284.3 | ταῦτα πάντα C

203

A Ἀφυεῖ μάντει προσελθών τις ἠρώτα εἰ ὁ ἐχθρὸς αὐτοῦ ἐξ ἀποδημίας ἥξει. ὁ δὲ εἶπεν ὅτι οὐκ ἔρχεται. ὡς δὲ ἔμαθε μεθ' ἡμέρας παραγενόμενον αὐτόν, ἔφη· Οὐδὲν αὐτοῦ ἀχρωμότερον.

204

A Ἀφυὴς μαθηματικὸς μοιρολογῶν τινα ἔφη· Οὐκ ἦν σοι κατὰ γένος τεκνῶσαι. τοῦ δὲ εἰπόντος ὅτι Ἑπτὰ παῖδας ἔχω, εἶπεν· Οὐκοῦν πρόσεχε αὐτοῖς.

μαθηματικὸς z μαθητικὸς A | μακρολογῶν A: corr. Haupt | πρόσεχε] sc. ne pereant

205

A Ἀφυὴς μάντις ἐμπεσὼν εἰς πολεμίους καὶ εἰπὼν ὅτι Μάντις εἰμί … μελλούσης πρὸς ἀντιπάλους μάχης συνάπτεσθαι, Νικήσετε, εἶπε, τὸν πολέμιον ἐὰν τὰς ἐξόπισθεν τρίχας τῶν κεφαλῶν ὑμῶν ἐν τῆι παρατάξει τῆς μάχης μὴ βλέψωσιν.

lacunam indicavit Eberhard | νικήσεσθε A: corr. Boissonade | τὸν πόλεμον A: corr. Dawe τοὺς πολεμίους Haupt | ἐξόπισθεν z ἐξώπισθεν A | ὑμῶν z[pc] ἡμῶν A z[ac] | βλέψωσιν Boissonade κλέψωσιν A

ΔΕΙΛΟΙ

sic z δηλοι A[1] i. m. teste Thierfelder nihil rell.

206

A Δειλὸς ἐρωτηθεὶς Ποῖα τῶν πλοίων ἀσφαλέστερα, τὰ μακρὰ ἢ τὰ στρογγύλα; ἔφη· Τὰ νενεωλκημένα.

cf. Athen. 350b; Diog. Laert. 1.104; Apothegm. Vindob. apud Wachsmuth, Festschr. 36 Philologenvers. Freiburg – Tübingen 1882 | νενεολκημένα A: corr. Boissonade

207

AM Δειλὸς κυνηγός, συνεχῶς τὴν νύκτα ὑπὸ ἄρκτου διωκόμενος ἐν ὕπνωι, κύνας μισθωσάμενος μετ' αὐτοῦ ἐκοίμιζεν.

ἐκοίμιζεν M ἐκόμιζεν A

208

A Δειλῶι πύκτηι λέγει τις· Μετὰ τίνος ἔχεις πυκτεῦσαι; κἀκεῖνος τὸν ἀντίπαλον ὑποδείξας ἔφη· Μετὰ τοῦ κυρίου μου τοῦδε.

κἀκεῖνος z κἀκεῖ A

209

(cf. 218)

A Δειλὸς πύκτης συνεχῶς ὑπὸ ἀντιδίκου κοσκινιζόμενος ἀνέβοησε· Δέομαι ὑμῶν μὴ ἅμα παίσειν.

eundem iocum bis scr. A | ὑμῶν μὴ ἅμα παίσειν Dawe: de δέομαι cum infinitivo futuro cf. Thucyd. I,27 ὑμῖν ἅμα πᾶσιν (πᾶσι A[ac], ubi iocum iterat) A ὑμῶν μὴ πάντες ὁμοῦ (e 218) z et A[2pc] (Minas?) ubi iocum iterat

210

AM Δειλὸς πύκτης χωρίον ἀγοράζων κατηρώτα τοὺς ἐντοπίους μὴ ἔχει μύρμηκας.

ἔχειν M

ΟΚΝΗΡΟΙ

Hunc titulum habet A : nullum C : Περὶ ὀκνηρῶν EV

211

a) AC Ὀκνηρῶν δύο ὁμοῦ κοιμωμένων εἰσελθών τις κλέπτης τὸν σάγον ὑποσύρας ἔκλεψε. τοῦ δὲ ἑνὸς αἰσθομένου καὶ πρὸς τὸν ἕτερον εἰπόντος· Ἀναστὰς φθάσον τὸν κλέψοντα τὸν σάγον, εἶπεν· Ἄφες· ὅταν ἔλθηι ἐπᾶραι τὴν τύλην, πιάσωμεν αὐτόν.

b) EV Ὀκνηρῶν δύο κοιμωμένων εἰσελθών τις κλέπτης τὸ σάγιον αὐτῶν ἔλαβε. τοῦ δὲ ἑνὸς νοήσαντος καὶ εἰπόντος πρὸς τὸν ἕτερον· Ἀνάστα, δίωξον αὐτόν, ἔφη· Ἄφες· ὅταν ἔλθηι λαβεῖν τὴν τύλην, κρατοῦμεν αὐτὸν οἱ δύο.

a) τις κλέπτης A κλέπτης τις C | αἰσθομένου] ἑστωμένου C | εἶπεν] ἔφη C | ἐπάραι A ἐπαρεῖν C | τύλην e b) Boissonade στήλην AC | πιάσωμεν C κρατοῦμεν A | αὐτὸν ⟨οἱ δύο⟩ Eberhard

b) σαγίον E σαγεῖον V | ἔλαβεν E

212

a) A Ὀκνηρῶι υἱῶι ἐκέλευσεν ὁ πατὴρ εἰς τὸν γείτονα ἀπελθεῖν καὶ χρήσασθαι ἀξίνην. ὁ δὲ ἔφη· Οὐ δίδει· τοῦ δὲ πατρὸς ἐπιμένοντος ⟨...⟩ ἀπεκρίνατο· Ἐγώ εἰμι ὁ γείτων καὶ ἀξίνην οὐκ ἔχω.

b) EV Ὀκνηρῶι υἱῶι ἐπέταξεν ὁ πατὴρ ἀπελθεῖν εἰς τὸν γείτονα καὶ χρήσασθαι ἀξίνην. ὁ δὲ ἔφη· Ἐγώ εἰμι ὁ γείτων· ἀξίνην οὐκ ἔχω.

a) lacunam post ἐπιμένοντος statuit Dawe

b) lacunam post ἔφη statuit Thierfelder

213

a) AC Ὀκνηρὸς ὀκνηρῶι δηνάριον ἐχρεώστει. ὑπαντήσας δὲ αὐτῶι ἤιτει τὸ δηνάριον. τοῦ δὲ εἰπόντος· Ἔκτεινόν σου τὴν χεῖρα καὶ λῦσόν μου τὸ μάπουλον καὶ ἆρον τὸ δηνάριον, ἐκεῖνος ἔφη· Πορεύου· ἔνθεν οὐδέν μοι χρεωστεῖς.

b) EV Ὀκνηρὸς ὀκνηρῶι ὤφειλε δηνάριον. ὑπαντηκὼς δὲ αὐτὸν ἤιτει τὸ δηνάριον. ὁ δέ φησιν· Εἰς τὸ μάπουλον μου δέδεται· λύσας ἆρον. ὁ δὲ Ἄπελθε φησίν· Ἐπληρώθην.

a) δινάριον ubique A[ac], corr. A[2] | ἀπαντήσας C | λῦσον C λύσον A | μανδυλ⟨ον⟩ C cum linea subscripta | ἆρον μου C[ac], corr. C[1] ἄρον A | post non ante ἔνθεν interpungit Thierfelder

b) ὤφειλε edd. ὄφειλε EV | δεινάριον utrubique EV | ὑπαν-τηκὸς EV: corr. Sarrau

ΦΘΟΝΕΡΟΙ

Hunc titulum solus exhibet A[1] i. m.

214

A Φθονερὸς εἰς γναφεῖον εἰσελθὼν καὶ μὴ θέλων οὐ-ρῆσαι ἀπέθανεν.

καὶ delebat Eberhard

215

A Φθονερὸς οἰκοδεσπότης τοὺς ἐνοίκους ἰδὼν εὐτυ-χοῦντας ἐκ τοῦ οἴκου αὐτοῦ ἐξεδίωξεν.

num αὐτοὺς?

216

A Φθονερὸς ἰδὼν τὸν γείτονα θηριομαχοῦντα λέγει τῶι κυβερνήτηι· ⟨.....⟩ ἄρκυς.

⟨....⟩ ἄρκυς (sc. retiarii) Dawe ἄρκος A, quod pro ἄρκτος vulgo intelligitur: cf. Anth. Pal. XI 231

⟨ΔΕΙΛΟΙ⟩

217

(cf. 209)

A Ἄλλος διὰ δειλίαν ἐπέγραψεν ἐπὶ τοῦ μετώπου· Ὁ τόπος τῶν καιρίων. παιόμενος οὖν συνεχῶς εἶπε πρὸς

τὸν παύοντα· Μή τι οὗτος γράμματα οὐκ οἶδεν καὶ ἀναιρεῖ με;

μετόπου A^{ac}, corr. A^{2} | καιρίων Boissonade κυρίων A | τὸν παίοντα A: corr. Dawe τοὺς παρόντας Thierfelder |

218

(cf 209)

A Δειλὸς πύκτης συνεχῶς παιόμενος ὑπὸ τοῦ ἀντιδίκου ἀνεβόησε· Δέομαι ὑμῶν, μὴ πάντες ὁμοῦ.

ΛΙΜΟΞΗΡΟΙ

sic A: ante 261 Περὶ λιμοξήρων E et Περὶ λιμοξήρου V

219

AC Λιμόξηρος λιμοξήρωι θυγατέρα ἐκδιδοὺς καὶ ἐρωτώμενος τί αὐτῆι δίδωσιν εἰς προΐκα Οἰκίαν, ἔφη, δίδωμι, ἧς αἱ θυρίδες εἰς τὸ ἀρτοκοπεῖον βλέπουσιν.

λιμόξηρος om. C | ἐνδιδοὺς C | προῖκα AC | ἔφη· οἰκίαν hoc ordine C | ἀρτοκόπιον C | βλέπουσι C

220

a) AC Λιμόξηρος παιδοτρίβης ἰδὼν ἄρτον κρεμάμενον εἶπε· Καταβαίνεις; ἀπαγγέλλεις; ἢ ἀναβαίνω καὶ ἀπαρτίζω σε;

b) EV Λιμόξηρος παιδαγωγὸς ἰδὼν ἄρτον ἔν τινι ὕψει κρεμάμενον εἶπε· Καταβαίνεις καὶ ἀπαγγέλλεις; ἢ ἀναβαίνων ἀπαρτίζω σε;

a) κρεμμάμενον C | ἀπαγγέλεις C | καὶ bis scr. C

b) εἶπε om. V | ἀπαγγέλεις EV | ἀναβαίνω EV: corr. Eberhard ἀναβαίνω ⟨καὶ⟩ ex a) Thierfelder

221

a) AC Λιμόξηρος ἰατρὸς ἰδὼν ἄρτον εἰς τρύπην κείμενον ἐκσυρτικὸν ἔμπλαστρον ἐπέθηκεν.

b) EV Λιμόξηρος ἰατρὸς ἰδὼν ἄρτον διά τινος τρύπης ἐκσυρτικὸν ἔμπλαστρον ἐτίθει.

a) ἄρτον ante ἰδὼν collocat C | ἔμπλαστον C | ἐπέθηκε C

222

A Λιμόξηρον ἄρρωστον ἰατρὸς ἐπισκεψάμενος ἐκέλευσεν ἄληκα αὐτῶι εἰς πόμα γενέσθαι· εἰ δὲ μὴ εὕροι ἄληκα, ποιῆσαι αὐτῶι ὁμοίως τράγον. ὁ δὲ λιμόξηρος ἔφη· Ἐὰν μὴ εὕρω τράγον, φάγω δύο ἐρίφια;

ἄρρωστον z ἄρρωστος A | ποιῆσαι αὐτῶι Dawe ποιῆσαι αὐτῶι A | post ἐρίφια notam interrogationis add. Dawe

223

a) AC Λιμόξηρος ἰδὼν ἄρτον ἐν ὑπερθύρωι κείμενον εἶπε· Θεέ, ἢ ἐμὲ ὕψωσον ἢ ἐκεῖνον ταπείνωσον.

b) EV Λιμόξηρος ἰδὼν ἄρτον ἐν ὑπερθύρωι κείμενον ἔφη· Κύριε, ἢ ἐκεῖνον ταπείνωσον ἢ ἐμὲ †ἐξάλειψον†.

a) ἐκεῖνον C τοῦτον A

b) ὑπέρθρω E ὑπαίθρω V | ἐκεῖνον] ἐμὲ V^{ac}, corr. V^{1} | ἐξάλειψον] ὑψοῦ ἄμειψον sensum redderet

224

AC Λιμόξηρος ἀπελθὼν εἰς κηπουρὸν ἔδωκε τέσσαρα δηνάρια ἵνα σῦκα ὅσα θέλει φάγηι. τοῦ δὲ καταφρονήσαντος καὶ εἰπόντος Ἀπὸ τῶν παρακειμένων δένδρων φάγε ὅσα δύνασαι, ἀνελθὼν εἰς μεγάλας συκᾶς καὶ ἀπὸ κορυφῆς ἀρξάμενος πάντα κατήσθιε. μετὰ δὲ πολλὴν ὥραν ἀναμνησθεὶς ὁ κηπουρὸς ἐπεζήτει αὐτόν. ὡς δὲ εἶδεν εἰς ὕψος σαλεύοντα τοὺς κλάδους καὶ ἐσθίοντα, ἀγανακτήσας εἶπε· Κάτω ἑστὼς οὐκ ἠδύνω ἐκ τῶν ἐπικειμένων κλάδων φαγεῖν; ὁ δὲ ἀπεκρίνατο· Ἐκεῖνα ὡς καταβαίνω τρώγω.

κηπωρὸν C | δινάρια A | σῦκα C σύκα A | μεγάλας z μεγάλα AC | συκᾶς Thierfelder σῦκα C σύκα A | κηπωρὸς C | ἐπιζητεῖ A | ἠδύνου C | τῶν ἄνω ἐπικειμένων C τῶν ὑποκειμένων Dawe | ἀπεκρίνατο] εἶπεν C

225

AC Λιμόξηρος ἀρτοπράτηι προσελθὼν ᾔτει δοῦναι δηνάρια δύο ἵνα ἄρτον χορτάσηι. τοῦ δὲ λογισαμένου ἕνα ἄρτον τούτωι ἀρκέσειν ⟨καὶ⟩ λαβόντος τὰ δηνάρια [ἤρξατο τρώγειν] ὁ δὲ τοῦ κοφίνου ἀρξάμενος ἑστὼς τὸ ἥμισυ ἔφαγε. τοῦ δὲ ἀρτοπράτου θαμβηθέντος καὶ εἰπόντος ὅτι Κάθισον καὶ οὕτως φάγε, ἀπεκρίνατο· Τοὺς ἐν τῶι κοφίνωι ἄρτους βούλομαι ἑστὼς φαγεῖν, τοὺς δὲ ἐν τῆι προβολῆι καθήμενος.

ἀρτοπράτῃ C[c] | προσελθὼν] περιπεθὼν C[1c] πρ incepit C[ac] δοῦναι] εἶπεν C[ac] | δινάρια A[ac] utrubique, corr. A[2] | ἄρτου C ἄρτων z | χορτασθῆι Eberhard | τούτωι ἀρκέσειν] τοῦτον χορτάσειν C | ⟨καὶ⟩ Thierfelder | λαβόντος Eberhard λαβὼν AC | δηνάρια· ⟨ἐπέτρεψε· ὁ δὲ⟩ Minas | [ἤρξατο τρώγειν] delebat Thierfelder | ὁ δὲ … ἥμισυ] ὡς οὖν ἀρξάμενος τὸ ἥμισυ τοῦ κοφίνου C | ὅτι om. C | ut vid. κάθησον C[ac] corr. C[1]

226

A Λιμόξηρος κωμωιδίας ὑποκριτὴς τὸν ἀγωνοθέτην πρὸ τοῦ εἰσελθεῖν ἄριστον ἤιτει, τοῦ δὲ ἐπιζητοῦντος διὰ τί προαριστῆσαι θέλει, Ἵνα, ἔφη, μὴ ἐπιορκήσω λέγων·

⟨Ἐγὼ⟩ μὲν ἠρίστησα νὴ τὴν Ἄρτεμιν
μάλ' ἡδέως

ἐπιορκήσω λέγωμεν· ἠρίστησα A: corr. Thierfelder: ἐπιορκῶν λέγω· ⟨ἐγὼ⟩ μὲν iam Cobet | Ἄρτεμιν z Ἀρτέμην A | μάλα A | cf. com. adesp. 479 Kassel-Austin viii 143

ΜΕΘΥΣΟΙ

Titulum solus exhibet A

227

a) AC Μεθύσωι ἐν καπηλείωι πίνοντι ἐπιστάς τις ἔφη· Ἡ γυνή σου ἀπέθανεν. ὁ δὲ ἀκούσας πρὸς τὸν κάπηλον ἔφη· Οὐκοῦν, αὐθέντα, ἐκ τοῦ μελανοῦ κέρασον.

b) EV Σχολαστικῶι ἐν καπηλείωι πίνοντι ἐπιστάς τις εἶπεν· Ἡ γυνή σου ἀπέθανεν. ὁ δὲ ἔφη· Οὐκοῦν, πραγματευτά, μέλαινα οἶνον μοι κέρνα.

a) ut vid. καπηλίω C^{ac} | εἶπε πρὸς τὸν κάπηλον C
b) καπηλιώ EV

228

A Μέθυσος ὀνειδιζόμενος ὑπό τινος ὅτι πολλὰ πίνων οὐ φρονεῖ, ὁ δὲ ἀπὸ τοῦ οἴνου καλῶς βλέπειν μὴ δυνάμενος ἀπεκρίνατο· Ἐγὼ μεθύω ἢ σὺ ὁ δύο ἔχων ὄψεις;

229

a) A Μέθυσος ἀτυχὴς ἀμπελῶνα κτησάμενος τῶι τρυγητῶι ἀπέθανεν.

b) EV Ἀτυχὴς μέθυσος ἀμπελῶνα κληρονομήσας ἐν καιρῶι τοῦ τρυγητοῦ ἀπέθανεν.

b) τυχὴς E ob negligentiam rubricatoris

230

A Μέθυσος καπηλεῖον ἀνοίξας εἰς τὸ πρόθυρον ἄρκτον ἔδησεν.

ἄκτον A[ac], corr. A[2]

ΟΖΟΣΤΟΜΟΙ

Titulum solus exhibet A

231

A Ὀζόστομος θέλων ἰδίωι θανάτωι ἀποθανεῖν περικαλυψάμενος ἐχασμᾶτο.

232

AC Ὀζόστομος συνεχῶς τὴν γυναῖκα αὐτοῦ καταφιλῶν ἔλεγεν· Ἡ κυρία μου, ἡ Ἥρα μου, ἡ Ἀφροδίτη μου, κἀκείνη ἀποστρεφομένη ἔλεγεν· Ὀζεύς μου, ὀζεύς μου.

συνεχῶς post αὐτοῦ collocat C | ὀζεύς bis C ὁ Ζεὺς bis A

233

AC Ὀζόστομος κωφῶι ὑπαντήσας ἔλεγε· Χαῖρε, κἀ-

κεῖνος εἶπε· Φῦ. τοῦ δὲ εἰρηκότος· Τί γὰρ εἶπον; ἔφη· Ἔβδεσας.

ἀπαντήσας C | φῦ] φῦγε C | κἀκεῖνος] τοῦ δὲ κἀκεῖνος C, qui τοῦ δὲ etiam suo loco habet

234

AC Ὀζόστομος τὴν γυναῖκα ἠρώτα λέγων· Κυρία, τί με μισεῖς; κἀκείνη ἀπεκρίνατο λέγουσα· Διότι σύ με φιλεῖς.

cf. Anth. Pal. XI 252 | διότι (non alibi apud Philogelon repertum) C ὅτι A

235

AC Ὀζόστομος ἰατρῶι ὑπαντήσας λέγει· Κύριέ μου, ἴδε ὅτι ἡ σταφυλή μου κατέβη. καὶ χανόντος ὁ ἰατρὸς ἀποστρεφόμενος ἔλεγεν· Οὐχὶ ἡ σταφυλή σου κατέβη, ἀλλ' ὁ κῶλος σου ἀνέβη.

ἀπαντήσας C | μου[1]] om. C | ὅτι om. C | χανῶντος A | οὐχὶ] οὐχ C | κατέβην C | κόλος A

236

AC Ὀζόστομος τὸ τέκνον αὐτοῦ κολακεύων μασώμενος ἐνεβρωμάτιζεν αὐτῶι. τὸ δὲ ἀποστρεφόμενον ἔλεγεν· Οὐ θέλω, τατά, κακά.

μασσώμενος C | αὐτῶ] αὐτὸ A | τατὰ] τὰ C | subaudi οὐ θέλω τατὰ κακά, h. e. κόπρον

237

A Ὀζόστομος λουκάνικον ὀπτῶν καὶ ἐπὶ πολὺ προσφυσῶν κυνέαν αὐτὸ ἀπειργάσατο.

λοκάνικον ὄπτων A: corr. Boissonade | κὺνέαν A: vide van Thiel, *Hermes* C (1972) 509

237 *bis*

A ⟨ὁ⟩ αὐτὸς συνεχῶς βδέων ⟨βδεῖν⟩ οὐκ ἐπιστεύετο.

cum 237 conflat A, distinxit Dawe: ⟨ὁ⟩ et ⟨βδεῖν⟩ idem

238

A Ὀζόστομος ἀπελθὼν εἰς ὀπωροπώλην ἠρώτα· Ἔχεις, κῦρι, σχάδας; ὁ δὲ ἀποστραφεὶς Οὐδὲ φοινίκια ἔχω.

in σχάδας et φοινίκια sensum obscoenum latere suspicatur Boissonade | ἰσχάδας Minas

239

a) A Νεανίσκος τραγωιδὸς ἠγαπήθη ὑπὸ γυναικῶν δύο, ὀζοστόμου καὶ ὀζοχρώτου, καὶ τῆς μίας λεγούσης Δός μοι, κῦρι, φιλήματα, τῆς δὲ ἄλλης Δός μοι, κῦρι, περιπλοκάς, ἐκεῖνος ἀνεβόησεν·

οἴμοι, τί δράσω; δυσὶ κακοῖς μερίζομαι.

b) EV Εὐτράπελος τραγωιδὸς ὑπὸ δύο ἠγαπᾶτο γυναικῶν, ὀζοστόμου καὶ †εὐοχνότου†. καὶ τῆς μὲν εἰπούσης Δός μοι φιλήματα, τῆς δὲ εἰπούσης Δός μοι περιπλοκάς, ἀνεβόησεν·

οἴμοι, τί δράσω; δυσὶ κακοῖς μερίζομαι.

a) ὀζοχρώτου Minas ὀζοχρώστου A, defendit Ritter p. 23: sed cf. § 240

b) Titulum Περὶ εὐτραπέλων exhibent EV | εὐοχνότου V, et s. l. E εὐοχνώτου E in lin. | φιλήματα Dawe φίλημα EV | φίλημα et περιπλοκάς inter se commutavit E | μελίζομαι E

240

A Ὀζοστόμου καὶ ὀζόχρωτος ὁμοῦ ἐν θεάτρωι καθεζομένων, συνέβη μέσον αὐτῶν κατὰ τύχην νεανίσκον καθεσθῆναι. αἰσθομένου δὲ αὐτοῦ τῆς δυσωιδίας, στραφεὶς πρὸς τὸν ὀζόστομον ἠρώτα· Τίς ἔβδεσεν; εὑρηκὼς δὲ ἐκ τοῦ στόματος αὐτοῦ τὴν αἰτίαν, στραφεὶς τῶι ἑτέρωι εἰς τὸ οὖς διελέγετο. γνοὺς δὲ κἀκείνου τὴν δυσωδίαν ἀναστὰς ἔφυγεν.

ὀζοστόμου Thierfelder, qui ὀζόχρωτος pro genetivo accipit: ὀζόστομος A | καθεζόμενοι Eberhard

241

A Μωρὸς κωφῶι συγκαθεύδων ἔβδεσε. τοῦ δὲ τὴν δυσωδίαν αἰσθομένου καὶ κατακράξαντος ἔφη· Ἴδε ὡς ἀκούεις· ἀλλ' ἐμπαίζεις μοι.

ὡς Eberhard πῶς A

242

A Ὀζόστομος συνεχῶς εἰς οὐρανὸν βλέπων πολλὰ ηὔχετο. παρακύψας ὁ Ζεὺς λέγει·
†μία μία χαρεῖς†· καὶ κάτω θεοὺς ἔχεις.

βλέπων πολλὰ Eberhard πολλὰ βλέπων A | ὁ] ⟨δ'⟩ ὁ Eberhard | exspectares e. g. μίαν (sc. χάριν) μοι χάρισαι (cf. 248) χαρεῖς invenitur apud Annam Comnenam II 4 p. 69.7 Reifferscheid

243

AC Λείξουρος εἰς τρύγην ὑπὸ φίλου κληθεὶς καὶ ἀπλήστως φαγὼν σῦκα καὶ σταφυλάς, ⟨...⟩ ὑπὸ τῆς γαστρὸς αὐτοῦ νυχθεὶς ἔδοξεν ὁρᾶν ἐπὶ συκὴν τὸν φίλον αὐτοῦ καθήμενον καὶ τοῦτον προσκαλεῖσθαι ἵνα φάγηι σῦκα. ἀναστάντος δὲ ἤρεσεν αὐτοὺς ἀπὸ τῆς συκῆς χέσαι ἄνωθεν. βιαζόμενος οὖν τὰ στρώματα κατέχεσεν. ὡς δὲ ἐξυπνίσας ἐπέγνω, τὰ στρώματα πλύνας πάλιν [ἀπλήστως φαγὼν] ἐκοιμήθη, καὶ θεωρεῖ πάλιν καθ' ὕπνους τὸν φίλον ἐπὶ τῆς συκῆς καθήμενον καὶ τοῦτον ὁμοίως ἀνελθεῖν προτρεπόμενον. ὁ δὲ πρὸς αὐτὸν ἀναβλέψας εἶπε· Πάλιν μοι θέλεις ἐμπαῖξαι, ἵνα ἀπὸ τῆς συκῆς ἄνωθεν δόξας χέζειν τὰ στρώματα ἐρημώσω. ἀλλ' ἐγὼ ἀπαρτὶ οὐ μὴ ἐμπαιχθῶ· πρῶτον γὰρ χέσω καὶ οὕτως ἀνέλθω. βιαζόμενος οὖν πάλιν τὰ στρώματα κατετίλησεν.

λείξουρος C λίξ- A | σύκα A | post σταφυλάς mentio somni aut noctis desideratur | ἐπὶ συκὴν] ὑπὸ τὴν συκὴν ut vid. C ἐπὶ συκῆς Eberhard | τὸν φίλον αὐτοῦ] αὐτοῦ (nisi αὐτῆς) τὸν φίλον C | σύκα AC | αὐτοὺς ... οὖν] ἀπὸ τῆς συκῆς αὐτῆς χέσαι ἄνωθεν οὖν βιαζόμενος C | ἐξυπνήσας C | [ἀπλήστως φαγὼν] secl. Thierfelder | ἐπὶ] ἐπὶ πῖ C | ὁμοίως post ἀνελθεῖν et ἄνωθεν post χέζειν collocat C | ἐρημώσω] cf. Ephraem Syrum I. 205 B | κατετύλησσεν A κατετζήλλησε C: corr Boissonade

ΠΕΡΙ ΛΑΓΝΩΝ ΓΥΝΑΙΚΩΝ

sic V: λάγνων om. E: nullum titulum exhibent AC

244

a) AC Νεανίσκος πρὸς τὴν γυναῖκα αὐτοῦ ἀσελγῆ οὖσαν εἶπεν· Κυρία, τί ποιοῦμεν; ἀριστοῦμεν ἢ ἀφρο-

δισιάζομεν; κἀκείνη πρὸς αὐτὸν ἔφη· Ὡς θέλεις· ψωμὶν οὐκ ἔνι.

b) EV Νεανίσκος πρὸς τὴν ἑαυτοῦ γυναῖκα ἀσελγῆ οὖσαν εἶπεν· Κυρία, τί ποιοῦμεν; ἀριστοῦμεν ἢ ἀφροδισιάζομεν; κἀκείνη ἔφη· Ὡς θέλεις· ψωμὴν οὐκ ἔχομεν.

a) αὐτοῦ om. A | οὖσαν ἀσελγῆ A | εἶπε C | ποιῶμεν z^{ac} | ἀριστῶμεν ἢ ἀφροδισιάζωμεν z | πρὸς αὐτὸν om. C | ἔφη] λέγει C | θέλεις in aliud nescioquid mut. A^{2pc} | ἔνι C: ni fallimur ἐστιν per compend. voluit A

b) ἀσέλγην E | ὡς θέλεις om. E | ψωμὴν] ἄρτον E | ὥσπερ τὴν Μάρθαν E i. m.

245

a) AC Νεανίσκος γραίας δύο καπριώσας ἐκάλεσε, πρὸς δὲ τοὺς οἰκείους διακόνους ἔφη· Τὴν μίαν κεράσατε, τὴν δὲ θέλουσαν ἀφροδισιάσατε. αἱ δὲ ὑφ' ἓν εἶπον· Ἡμεῖς οὐ διψῶμεν.

b) EV Γραΐδας ἐρωτευομένας νεανίσκος ξενοδοχησας πρὸς τοὺς παῖδας αὐτοῦ ἔφη· Τὴν θέλουσαν κεράσατε καὶ τὴν θέλουσαν ἀφροδισιάσατε. κἀκεῖναι εἶπον· Ἡμεῖς οὐ διψῶμεν.

a) δύο γραίας γαυριώσας C | διακόνους del. Dawe | τὴν μὲν μίαν C | κυράσατε C

b) ἐροτευομένας E ἐρωτομανεῖς Eberhard | ἀφροδιάσατε E

ΠΕΡΙ ΜΙΣΟΓΥΝΑΙΚΩΝ ΑΝΔΡΩΝ

Hunc titulum exhibet V, nullum rell.

246

A Μισογύναιος στὰς ἐν τῆι ἀγορᾶι ἔλεγε· Πωλῶ μου

τὴν γυναῖκα ἀτελώνητον. τινῶν δὲ εἰπόντων· Διὰ τί; εἶπεν· Ἵνα στερέσιμος γένηται.

247

a) A Μισογύναιος τῆς γυναικὸς αὐτοῦ ἀποθανούσης ἐπὶ τῶι θάψαι ἐκήδευε. τινὸς δὲ ἐρωτήσαντος Τίς ἀνεπαύσατο; ἔφη· Ἐγώ, ὁ ταύτης στερηθείς.

b) EV Μισογυναίκου τὴν γυναῖκα κηδεύοντος ἠρώτησέ τις· Τίς ἀνεπαύσατο; ὁ δὲ ἔφη· Ἐγώ, ὁ ταύτης στερηθείς.

248

a) A Μισογύναιος νοσήσας ἐν ἀπογνώσει, τῆς δὲ γυναικὸς αὐτῶι εἰπούσης Ἐάν τι πάθηις, ἀπάγξομαι, ἀναβλέψας πρὸς αὐτὴν εἶπε· Ζῶντί μοι τοῦτο χάρισαι.

b) EV Μισογύναικος ἀρρωστῶν καὶ τῆς γυναικὸς εἰπούσης αὐτῶι Ἐὰν ἀποθάνηις, ἀπάγξομαι, ἀναβλέψας εἶπε· Ζῶντί μοι τοῦτο χάρισαι.

249

A Μισογύναιος γυναῖκα ἔχων γλωσσώδη καὶ λοίδορον, τελευτησάσης δὲ αὐτῆς, ἐπὶ θυρεοῦ ἐξέφερε. τινὸς δὲ ἰδόντος καὶ τὴν αἰτίαν ἐρωτήσαντος ἀπεκρίνατο· Μαχίμη γὰρ ἦν.

μαχήμη A: corr. Boissonade

250

A Νεανίσκος ἐρωτηθεὶς ⟨εἰ⟩ ὑπὸ τῆς γυναικὸς αὐτοῦ κελεύεται ἢ πείθεται αὐτῶι ἐκείνη πάντα, ἐναβρυνόμε-

νος ἔλεγεν· Οὕτως με φοβεῖται ἡ γυνή μου· ἐὰν χάνω, χέζει.

⟨εἰ⟩ Eberhard | οὕτω z | fort. χέζοι A

251

AC Οἰκοδέσποινα μωρὸν οἰκέτην ἔχουσα καὶ ἐμφανῆ ἰδοῦσα αὐτὸν ἁδροκέφαλον, ἐπιθυμήσασα αὐτοῦ, φιμάριον εἰς τὸ πρόσωπον βαλοῦσα ἵνα μὴ ἐπιγνωσθῆι, συνέπαιζεν αὐτῶι. ὁ δὲ ἐν τῶι παίζειν συνεὶς ⟨συν⟩ῆλθεν αὐτῆι ... καὶ τῶι δεσπότηι συνηθῶς προσγελῶν εἶπε· Κῦρι, κῦρι, τὸν ὀρχηστὴν ἐβίνησα, καὶ ἡ κύρα ἦν ἔσωθεν.

καὶ ἐμφανῆ Dawe ἐμφανῆ καὶ AC | ἀδρο- AC | φιμάριον Hase φημάριον AC | εἰς] περὶ Eberhard | συνεὶς ⟨συν⟩ῆλθεν Dawe συνεισῆλθεν AC | post αὐτῆι lacunam indicavit Dawe | ὀρχιστὴν A | ἐβίνησα Boissonade ἐβήνησα A ἐβίνισα C

252

(cf. 116)

A Ἀτυχὴς εὐνοῦχος κήλην ἐποίησεν.

253

(cf. 6)

EPV Σχολαστικὸς ἰατρῶι συναντήσας Συγχώρησόν μοι, εἶπε, καὶ μή μοι μέμψηι ὅτι οὐκ ἐνόσησα.

254

EPV Σχολαστικὸς Ἀμιναίαν ἔχων ἐσφράγισεν αὐτήν. τοῦ δὲ δούλου κάτωθεν τρήσαντος καὶ τὸν οἶνον αἴροντος ἐθαύμαζεν ὅτι τῶν σημάντρων σώων ὄντων ὁ οἶνος

ἐλαττοῦται. ἕτερος εἶπεν· Ὅρα μὴ κάτωθεν ἀφηιρέθη. ὁ δὲ Ἀμαθέστατε, εἶπεν, οὐ τὸ κάτωθεν λείπει ἀλλὰ τὸ ἄνωθεν μέρος.

σημάτρων E σημάντων P[ac], corr. P[1] | ἐλατται V[ac], corr. V[2] ἐλαττοῦται P[1c] | λίπη P

255

EPV Σχολαστικὸς μαθὼν ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη ζῆι ἀγοράσας κόρακα εἰς ἀπόπειραν ἔτρεφεν.

256

EPV Σχολαστικὸς εἰς χειμῶνα ναυαγῶν καὶ τῶν συμπλεόντων ἑκάστου περιπλεκομένου σκεῦος πρὸς τὸ σωθῆναι, ἐκεῖνος μίαν τῶν ἀγκυρῶν περιεπλέξατο.

χολαστικὸς V, σ om. rubricator | περιπλεκομένου P[pc], et coni. Coraes -μένων EVP[ac] | σκεῦος ed. princ. σκεύους codd.

257

(cf. 77)

EV Σχολαστικὸς υἱὸν θάψας καὶ συναντήσας τῶι διδασκάλωι αὐτοῦ εἶπεν· Προσῆλθεν ὁ παῖς; ὁ δέ φησιν· Οὔ. καὶ ὁ σχολαστικός· Λοιπὸν οὖν, καθηγητά, τέθνηκεν.

προῆλθεν EV: corr. Boissonade | δὲ φησὶν V | καὶ ὁ σχολαστικός] om. V | λοιπὸν οὖν] cf. Nov. Test. Epist. Thessal. 4,1

258

EV Σχολαστικὸς παιδοτρίβης ἀκούσας περὶ μαθητοῦ ὅτι νοσεῖ, τῆι δὲ ἑξῆς ὅτι πυρέττει, ὕστερον δὲ παρὰ

τοῦ πατρὸς ἀκούσας ὅτι ἀπέθανεν, ἔφη· Οὕτω προφασιζόμενοι οὐκ ἐᾶτε τοὺς παῖδας μανθάνειν.

ἀκούσας post περὶ μαθητοῦ collocat E | πυρέτει E

259

EV Σχολαστικὸς ἀγοράσας κρέας βαστάζων αὐτὸ ἀπήρχετο εἰς τὸν οἶκον αὐτοῦ. λούπης δὲ ῥήξας ἥρπασεν αὐτὸ ἐκ τῆς χειρὸς αὐτοῦ. ὁ δὲ ἔφη· Ὡς σὺ γένωμαι, ἂν μὴ κἀγὼ ποιήσω αὐτὸ ἄλλωι.

γένωμαι ut vid. E[ac], coni. Eberhard γένομαι E[pc] V

260

Idem est ac 151 bis

ΠΕΡΙ ΛΙΜΟΞΗΡΟΥ

De titulis EV vide ante 219

261

EV Λιμόξηρος ὕπαρχος τὸ βῆμα αὐτοῦ ἐκέλευσε πρὸς ἀρτοκοπεῖον γενέσθαι.

ἐκέλευσεν E | γενέσθαι] 'fieri': cf. 222 | ὕπαρχος ⟨ὑπάρχοντος πρὸς τὸν ἄρκτον τοῦ βήματος αὐτοῦ⟩ ἐκέλευσε Boissonade

262

EV Εὐτράπελος ἀποδημήσας καὶ κηλίτης γενόμενος ἐπανελθὼν ἠρωτᾶτο τί ἤγαγεν. ὁ δὲ Σοὶ μέν, εἶπεν, οὐδέν, τοῖς δὲ μηροῖς μου προσκεφαλάιδιον.

κυλίτης EV, sed cf. 113 | ἠροτᾶτο E ἠρωτᾶτο ⟨ὑπὸ τῆς γυναικὸς⟩ Thierfelder | μου de Rhoer σου EV | προσκεφαλάιδιον Thierfelder -άδιον V -άδιν E

263

EV Εὐτράπελόν τις ἐλοιδόρει ὅτι Σοῦ τὴν γυναῖκα δωρεὰν ἔσχον. ὁ δὲ εἶπεν· Ἐμοὶ μὲν ἀνάγκη τοιούτου κακοῦ ἀντέχεσθαι· σοὶ δὲ τίς ἀνάγκη;

cf. Plut. mor. 235e | ὐτράπελος V, ε om. rubricator | σοῦ Eberhard σου EV, quod post δωρεὰν collocat Boissonade | ἐμοὶ] ἐκ E | τοσούτου Thierfelder | ἀνέχεσθαι Eberhard | σοὶ de Rhoer σοῦ EV

264

EV Εὐτράπελος ἐπὶ ἡγεμόνος ἐδικάζετο. τοῦ δὲ νυστάζοντος ἐβόησεν· Ἐκκαλοῦμαι, ὁ δὲ ἔφη· Ἐπὶ τίνα; κἀκεῖνος· Ἐπὶ σὲ γρηγοροῦντα.

cf. Plut. mor. 178f–179a et 509A; Stob. 3.13.49 | ἐκκαλοῦμαι de Rhoer ἐγκαλοῦμαι V ἐγκαλοῦμεν E | ἐπὶ σοὶ γρηγοροῦντι EV: corr. de Rhoer |

265

(cf. 92 et 136)

G Σχολαστικοῦ ἐρωτηθέντος πόσους ξέστας ὁ ἀμφορεὺς ἔχει ἀπεκρίνατο· Οἴνου λέγεις ἢ ὕδατος;

ἐρωτῆθέντος G | οἴνου Perry ἴνω G | ὕδατος] ατος G

APPENDIX DE CODICIBVS PAR. SVP. GR. 491 (z) et 690 (A) INTER SE CONNEXIS

In sua editione (A. D. 1848) haec scripsit Boissonade: 'Recensionis fundus mihi fuit apographum codicis Graeci manu exaratum Μινωΐδου Μηνᾶ v. doct., qui illud bona fortuna reperit, dum per Graeciam et Asiam, iussu Villemani v. honor. summi educationis publicae administratoris, anno MDCCCXL iter faceret. Propter inventum Μηνᾶς omnino est gratulatione dignus; sed et vituperandus simul, qui ne verbulo quidem significaverit cujus quae loci bibliotcca codicem possideat, quae conditio libri, quae aetas vel quae aetatis indicia.' Centum fere post annis B. E. Perry* fraudis Minam insimulavit: z enim codicis A apographum esse eum confiteri idcirco noluisse quod in mente haberet Bibliotecae Gallorum Publicae z quasi aliquid novum vendere, quae A, fortasse e dono seu venditione eiusdem Minae, iam possidebat. Quod tamen iure mireris, Minas magnum veritatis signum protulit: ubi enim ad finem ioci 244 pervenit, in membrana codicis quem transcribit lacunam exstare profitetur; et hanc lacunam apud A invenimus. Cave autem ne putes nulla subsidia penes Minam substitisse praeter A et merum ingenium. Apparebit e tabella quae sequitur Minam lectiones codicum EP seu EPV, quae sine dubio

* *Classical Studies in honor of W. A. Oldfather*, Urbana 1945–6, 157–166.

ex editionibus antiquis illi innotuerunt, contra A nonnumquam secutum esse.

Emendationes ad 68 (δίκην ὑπὲρ) et 163 (τρητόν) in margine respicit, ad 152 (⟨οὐ⟩ et φεύξομεν) inter facetias 152 et 153, plures in commentario quem textui adiunxit, viz. 225 δηνάρια ⟨ἐπέτρεψε· ὁ δὲ⟩ (quod in textum non recepit); 235 τὸ κῶλον; 236 [οὐ θέλω]; 237 αὐτὸς ⟨δὲ⟩; 243 ⟨ἐπανελθὼν οἰκάδε κατέδαρθεν⟩. ὑπὸ ⟨δὲ⟩. Notae ad facetias ante 225 relatas nullae in commentario reperiuntur, sed pp. 41–48 codicis z scriptura omnino vacuae sunt; fortasse igitur hic erat locus ubi rationes emendationum aliarum aut protulit aut proferre in animo olim habebat. Multis autem mendis medetur Minas ubi explicatio nobis non occurrit: ex. gr. 123 νόμον. Stilum auctorum bene cognitum habebat, ut docet exemplum eloquens 96, ubi facile crederes codicem e quo pendet A et M δύο quondam omissum postea supra lineam addidisse, unde A falso loco δύο textui restituisse. Minas tacite correxit dum Σχολαστικοὶ δύο scribit, normam secutus quam semper observat Philogelos: cf. 13, 20, 39, 152 (dissentiunt EV), 178, 211. Multa alia iudicium nostrum alliciunt, qualia 114 τεκνογοννῆσαι, 115 ordo οὐκοῦν ἔφη, 144 τίνος χρήιζει, nec multo minus blandiuntur 54 φεύγοντα et alia eiusdem modi. Ille autem elegantiam potius quam veritatem petere videtur, ex. gr. dum ⟨μὲν⟩ interpolat in 190, 225, 239; et dubitare licet num elegantia auctoribus libri 'Philogelos' aeque cordi fuerit.

Subiungimus tabellam lectionum codicis Par. sup. gr. 491 (z) quandoque a cod. Par. sup. gr. 690 (A) discrepat. Ubi cum aliis testibus contra A consentit, signa eorum apponimus.

2 ὤμωσε
καλῶς om. EPV
4 καταβέβληκε, κάτω omisso
ὅτι om. EP
5 ἰδὼν προσηγόρευσα EPV
ἔφη, ἄσχολος ὢν
6 ἐρωτηθεὶς
τοῦτο pro αὐτὸ
ἀπεκρίνατο· πολλὺς χρόνος ἐξ οὗ
αὐτὸν ἐντρέπομαι
7 ἐπέταξε
σε ἀσπάζεται
9 τὸν ὄνον αὐτοῦ (cf. EPV)
ἀπέθανε M
11 καμμύσας Needham (cf. 124)
12 αὐτοῦ fort. z^{ac}
14 οἰκίαν EPV
16 θρίδακας utroque loco pro μαρούλια (sed αὐτὰ non mutavit)
ἀπολέσαντι
18 εἶπεν· ὃν ἐπώλησάς μοι δοῦλον
οὐδὲν τοιοῦτον
ἐποίησε M
19 [καὶ]
21 πτερῶν [αὐτῶι]
24 ὅσα
ἐγενήθης M^{ac}
25 σφοδροῦ ὄντος
26 κτίσασθαι
28 ἀντίχειρα
ἦν
30 διαθήκην
31 τῶι ἵππωι
33 παρακύψας M
οἰκοδέσποτα
35 Σχολαστικὸς M
ἄμφια (inter § 158 et 158 b)
36 τοῦ δὲ πατρὸς αὐτοῦ
ὑπ'
ἔφη
37 αὐτοῦ om. z^{ac} EPV
οὕτω
39 ὁμοῦ om. z^{ac} M et EPV
ὁ om., et ἕτερος scr. ut M
ἀπέθανε
41 περιέφερε M
42 δύω
ἄτερος
43 τινῶν εἰπόντων
οὐκ ἔρχεται
44 ὀρθὸς
44b ἑταῖρος et ἵνα e silentio
45 αὐτοῦ
εἶπε
ἐστιν om. z^{ac}
47 εἰς τὴν ἀγορὰν
αὐτὰ om. z^{ac}
48 τρίζετε
κλάσετε
49 πόλεσι M
εἰσί M
50 ναυτίλωι
ἐνετείλατο
52 αὐτὸ
κομίσωσι
54 κεφαλικὴν φεύγοντα
55 αὐτοῦ
56 ἔξυρε

ὡρῶν πληρωθησῶν M
ἐξύπνισε
57 συμβούλευε
59 σιτευρίωι
60 κατέβαλε
61 χαμαιδιδάσκαλος
62 ἐτηρίδι
νικήσης
63 ἕωραν
65 εἰς [τὸν] EPV
67 ἐξερχόμενος M
αὐτοῦ
κατώρυξε M
69 ὀδυρομένου M
70 ἐπισκεψόμενος
71 ζητήσας
73 ὠκοδομῆσθαι z^pc
74 σου om.
76 Σαραπεῖον
καὶ ὁ σχολαστικὸς om. z
χαρίωι
78 ἀπολέσητε
79 μέχρις
79b discrepantias tantum a § 27 notat
80 τὸ αὐτὸ
81 κλαιόντων M
κυβερνήτου
83 Ῥήνωι
ἐπώκειλεν
ὑποβὰς ἀνωθεῖσθαι
συνιεὶς
86 ἀγοράσω
87 ἀνεγίνωσκε
89 κυβερνήτου πόστη εἴη ὥρα
τῆς ὥρας
κυβερνῶν
90 ἂν οὖν
φησὶν ••••
λέγων βούλεσθε (hoc M)
90b ad § 30 respicit, nihil praeter ἵνα διαθήκας γράψηι referens
91 μάγειρον
ἤρεσε
91b ad § 31 respicit, nihil praeter μετὰ ἵππου ἐποχούμενος et σπεύδειν ἔφη referens
96 Σχολαστικοὶ δύο
αὐτὸν εἰς φρέαρ
οὖν om.
ἐπὶ τῶι z^pc
παρέλθετε
96b nihil nisi discrepantias a § 32 refert
100 ἀναλάβωσι
101 ⟨οὕτως⟩
103 δύω
ἀφθόνως φέρει
ἧπαρ
104 ἔταξε M
105 οὐθὲν εἰ μὴ (cf. EV)
⟨τὴν⟩ ἑαυτοῦ
σπογγισάμενος
106 εἰωθὸς M
αὐτοῦ
εὐγενής τε
ἄφνω τὴν φίλην
107 ἐσελθούσης
ἠτιῶτο
με om.
109 ⟨τὰ⟩
Ἀβδηρῖται titulus
110 αὐδήροις
δυτικὰς

111 τοὺς ἐν τῆι πόλει ὄνους M
112 ἀπήγξασθαι M
οὖν om.
113 ἐμβάσεως
114 αυτὸν utroque spiritu
ἔχοι
τεκνογοννῆσαι
⟨ἔφη· Πολλοὺς γοῦν ἀνάγκη υἱωνοὺς ἔχειν⟩ in fine suppl.
115 οὐκοῦν ἔφη
ἐστι
116 ἐποίησε
119 ἐγόμωσαι
120 κρόμμυα
ἐκρέμασε
121 πέταται
122 αὐτῆς ἦρε
123 νόμον
124 καμμύσας Needham
125 εἰ ἔζη post corr.
ὑπῆρχε M
127 ἀντ' αὐτοῦ
128 ἐπ' ὀχήματος
λέγει· Ὁρᾶις z^ac
129 δύω
ἀροτριῶντα
ἧπαρ
130 τοὺς δύο οἰκέτας
131 μιλλίων χωρίον
κατέστρεψεν z^ac
134 ἔλεγε
136 πεντακότυλος (τ ut vid. ex ν facto) λήκυθος
138 ζευγηλάτην
οὐ θέμις
139 ἀπὸ ἀρρώστου
ἐκφερομένου M
ἐνεκάλει om.
νόσωι ἐμπαρεὶς
140 γραμματο om. z^ac
μὴ ἐπιστάμενος
141 ἔτνος καὶ κρόμμυα
142 μιᾶι οὖν τῶν ἡμερῶν
εἰς om.
ἔφη
144 τίνος χρήιζει
καταλαβεῖν
146 χεῖρον
147 οὕτω
148 σε κείρω
149 ὑβρισθεὶς
προσήγαγον
150 ὑφ' ἑνὸς
σὲ μὲν γνωρίζω, οὐ δώσω
151b iocum om.
152 οὐ κακῆς φεύξομεν coniecturam fassus
153 διόλου M
156 περιέφερε
158 γνωσθῆναι
158b τὸν βόλον αὐτοῦ, ceteris propter § 37 omissis
159 γυναῖκα αὑτοῦ
ἠρώτα vero accentu
ὡς pro ἵνα
163 post ἐξ ca. quattor litt. deletae
φίλον αὐτῶν
164 κατέδυ
165 δύνανται
166 ἀπεκρεμάσθη
ἐκεῖ ποιοῖ
πέπτωκα
168 μέλλοι
169 αὐτῶι om.

170 Κυμαίου z^{pc}
μένοι
171 ἐν Ἀλεξανδρείαι
ἔχοι z^{pc}
172 ἔχοι
175b Κυμαίωι
προσελθὼν
176 ἐλάκτισεν
177 μετέλαβε
179 ἐκλησίαι
οἱ μὲν
μόνωι
180 μετὰ τὴν ἐκκλησίαν z^{ac}, statim corr.
βαλέτωσαν
182 χειρουργήματος
τὸ πότ'
183 κρεμασθῆναι M
185 ἀπέθανε CM
186 ἀποκριθεὶς ἔφη
σὺ om.
187 πολυχρόνιον
188 ut vid. ἀγόρασεν z^{ac} ἀγοράσειε z^{pc}
ἐκχυθείη
ὑμῖν M
190 κατεπέτασσέ
ῥάπτης μέν εἰμι z^{pc} (cf. 225, 239)
τὸν ἑαυτοῦ χιτῶνα
192 Σικελίαι
193 εἶναι om.
194 καταβαίνων σκάλαν
ἀπεκρίνατο om.
196 δυσίν
199 παρωνυχίδας
ἐξονυχιζομένου
200 παρωνυχίδας
201 οὐδὲ γὰρ
202 γέννησιν
πάντα ταῦτ'
204 μαθηματικὸς
205 εἶπεν z^{ac}
ἐξόπισθεν
ὑμῶν z^{pc}
κλέψωσι
206 ante 206 titulum ΔΕΙΛΟΙ supplet
207 ἐκόμιζε
208 μεθ' ἑαυτοῦ
κἀκεῖνος
209 ὑμῶν μὴ πάντες ὁμοῦ
210 ἔχοι
211 φθάσον τὸν κλέπτην z^{ac}, statim corr.
212 δίδωσι
213 ὁ ἕτερος ἔφη
214 γραφεῖον z^{ac}
217 οἶδε
218 ἀντιπάλου
219 εἰς om. z^{ac}
βλέπουσι C
221 ἐν τρύμηι
ἐπέθηκε C
222 ἄρρωστον
224 ἐθέλει
μεγάλας
σῦκα z^{ac}C συκέας z^{pc}
225 ἄρτων χορτάσηι
αὐτῶι ἀρκέσειν
οὕτω
τοὺς μὲν ἐν (cf. 190, 239)
226 ἐπιορκοῦντες λέγωμεν
Ἄρτεμιν
228 Μεθύσωι z^{ac}
229 ἀπέθανε
230 ἄκτον A^{ac}
ἔδησε

233, 240, 246 ἔβδευσας, -σεν, -σε
235 ἔλεγε
τὸ κῶλον coniecturam fassus
236 οὐ θέλω om. coniecturam fassus
237 ἀλάντιον (ἀλλάντιον coni. Minas)
αὐτὸς δὲ coniecturam fassus
239 Νανίσκος
δύω
τῆς μὲν μιᾶς (cf. 190, 225)
240 ἔφυγε
243 σταφυλὰς ⟨ἐπανελθὼν οἴκαδε κατέδαρθεν⟩ coniecturam fassus
ὑπὸ ⟨δὲ⟩
αὐτοῦ om. z[ac]
νυγεὶς (sed recte in notis)
ἄνωθεν χέσαι
244 εἶπε C
ποιῶμεν z[ac]
ἀριστῶμεν ἢ ἀφροδισιάζωμεν
ψωμὶν ουκλ (sic, propter parvam lacunam in A)
245 κεράσωτε
ὑφ' ἓν om.
247 ἐκήδευσε
250 οὕτω
252 ἐποίησε

INDEX VERBORVM

Rom und das Reich in der Hohen Kaiserzeit 44 v. Chr.–260 n. Chr.

Von François Jacques und John Scheid

Band I
Die Struktur des Reiches

Generationen von französischen Althistorikern lernten aus den Bänden der renommierten Studienbuch-Reihe Nouvelle Clio, und daran hat sich bis heute nichts geändert. Mit „Rom und das Reich in der Hohen Kaiserzeit" liegt zum ersten Mal eine neu verfaßte strukturelle Darstellung der Geschichte des römischen Reiches in deutscher Sprache vor. Damit wird eine schmerzliche Lücke geschlossen: Konnten deutschsprachige Studenten bislang schon zwischen verschiedenen guten Darstellungen zur Ereignisgeschichte der römischen Kaiserzeit wählen, so mußten sie für all das, was der Untertitel „Struktur" nennt – also Staatsrecht, Religion, Heerwesen, Verwaltung der Provinzen, Gesellschaft, Wirtschaft – auf einzelne, für den Studierenden oft unerschwingliche und nicht selten veraltete Werke zurückgreifen.

Forschungsmeinungen werden ausführlich referiert und diskutiert, auf die einschlägige Literatur wird durchgehend verwiesen. Die mehr als tausend Nummern zählende, klar gegliederte Bibliographie, die auch die neuesten Schriften der internationalen Forschung erfaßt, ist eine sichere Grundlage für jede weitere wissenschaftliche Beschäftigung mit den Themen dieses Buches.



K · G · SAUR MÜNCHEN · LEIPZIG